



Moschopulus - Manuelis - 1835.




HARVARDIANA
ACADEMIA IN NOV·ANG
VE RI TAS
CHRISTO ET ECCLESIAE



EXAMINA. SOLEMNIA.

GYMNASII. SCHOLAEQUE. ROSTOCHIENSIS.

IUSSU. ET. AUCTORITATE.

CURATORUM. SCHOLAE. SUMME. VENERABILIUM.

HOC. IPSO. VERNO. TEMPORE.

DIEBUS.

VIII. IX. ET. X. MENS. APRIL. A. MDCCCXXXV.

PUBLICE. CELEBRANDA.

INDICIT.

LUDOVICUS. BACHMANNUS.

IN. ACADEM. ROSTOCH. PROF. PUBL. ORD.
ET GYMNAS. SCHOLAEQUE. MIN. ROSTOCHIENSIS.
DIRECTOR.

INEST.

MANUELIS. MOSCHOPULI. SCHOLIORUM. HOMERICORUM.
PARTICULA. PRIMA.

ROSTOCHII.
TYPIS. ADLERIANIS.

MDCCCXXXV.

MANUELIS. MOSCHOPULI.

IN. DUOS. PRIORES. ILIADOS. LIBROS. SCHOLIA.

POST.

PRIMAM. ET. UNICAM. EDITIONEM.

TRAIECTINAM.

E. CODICE. BIBL. PAULL. ACADEM. LIPS.

AUXIT. AC. RECENSUIT.

LUDOVICUS. BACHMANNUS.

PARTICULA. PRIMA.

ROSTOCHII. MDCCCXXXV.

TYPIS. ADLERIANIS.

Inter primaria bibliothecarum ornamenta jure numerantur codices manuscripti, ii praesertim, qui vel scriptorum, qui in iis continentur, praestantia, vel scripturae vetustate excellentes, justam quandam apud doctos homines famam et celebritatem consequuti sunt. Quorum in numero eximium locum tenet celeberrimum illud Iliados exemplar, quod in Paulina Academiae Lipsiensis bibliotheca asservatur; liber multo multorum, Bergleri, Wolfii, Ernestii, Wassenberghii, Villoisoni aliorumque *) studio et praeconio nobilitatus. Hae autem tantae totiesque repetitae laudes magnopere vereor ne his studiis, quorum causa codicum subsidia expeti solent, et quorum praecipua quaedam pars in accurata librorum mss. cognitione versatur, plus obfuisse quam profuisse censendae sint, quum falsae inde de hoc libro opiniones orirentur et invalescerent. Quod ita evenisse minime mirabimur, si reputaverimus, quam leviter saepenumero etiam eruditissimi homines de codicum aetate ac pretio statuerint, et quam pronae ubique in credulitatem sint imperitia et socordia. Et sic accidit libro tam laudato, ut tanquam satis excussus omnique de parte exhaustus a doctis hominibus negligeretur; quo factum est, ut ad nostra usque tempora plura vel nondum edita, vel auctius edenda in eo delitescerent. Quod luculento satis exemplo intellectum est, cum viginti tribus abhinc annis Joannis Tzetzae Iliados xegesis primum ex hoc libro a Godofredo Hermanno ederetur; neque minus id apparebit nova Scho-

---

*) *Steph. Berglerus* in Actis Eruditor. Lips. an. 1712. mens. Jul. pag. 316. et an. 1719. pag. 307 sqq.

Jo. Chr. Wolfius in Miscellaneis Dorvillianis. Vol. V. pag. 153 sqq.

Petrus Burmannus secundus in Praefat. Aristophanis Bergleriani pag. 6 sq.

Jo. Aug. Ernesti in Praefat. Homeri Clarkiani pag. IV sq.

Everh. Wassenberghius in Prolegom. ad Iliados libr. I et II. pag. XV sq.

Casp. d'Ansse de Villoison in Prolegom. ad Iliadem pag. XLV sqq.

L. C. Valckenarius in Dissertatione de Cod. Leidensi pag. 90 et 103 sqq.

)(

liorum Homericorum editione, quae olim ex Hamburgensi hujus codicis Apographo raptim a Villoisono descripta, nunc tertia fere parte auctiora ex ipso codice mea cura prodibunt. Sed de his alius et commodior erit dicendi locus. Nunc dicam de ipso codice. Constat hic liber, qui maxima forma partim in charta bombycina, partim in vulgari scriptus est, tribus partibus, uno sed sat amplo volumine comprehensis: quarum quae inter reliquas medio loco posita iisque ad minimum tribus quatuorve saeculis antiquior est, ducentis et duodeviginti foliis Homeri Iliados libros XVII cum uberrimis scholiis in margine interque lineas scriptis continet, ita tamen, ut antiqua manus in Iliados P. versu 89 scribendi finem fecerit; de qua codicis parte in praefatione ad Scholia accurate diligenterque exponam; tertia vero, quae eam excipit, a recentiore manu exarata est, quae glossas interlineares et scholia perpauca in marginibus addendo reliquam Iliados partem et Batrachomyomachiam uno et septuaginta foliis absolvit, et in fine quasi corollarii instar, duo epigrammata subjunxit, notissima quidem ex Anthologia Palatina Tom. II. sect. IX. 359 et 360, neque tamen propter insignem scripturae varietatem, praetermittenda. Prius ita inscriptum est: *σελέντεα. ἢ κατηχητικοὶ λόγοι ἀδέσποται· οἱ δὲ Ἀριστοτέλους.* ita ut ad duos qui in cod. Palatin. ejus auctores feruntur, nunc tertius accedat. v. 4. *ἐπὶ ξείνης ἢν μὲν ἔχῃς τι, φόβος.* v. 6. *ζήσῃ ἐρημότερον.* v. 7. *τέκνα, φόβος.* v. 9. *ἦν ἄρα τῶν δισσῶν.* v. 10. *μηδέποτ', ἢ 'ποθανεῖν· τἄλλα δὲ πάντα γέλως.* Alterum haec in fronte habet: *ἐκ τοῦ ἐναντίου πιθανοί· Μητροδόρου.* v. 1. *τάμοι.* v. 3. *ἄμπαυμ'· εἰν ἀγροῖς δὲ φορά χ' ἅλες* (corrige: *φορᾶς*) v. 5. *μόνος εἶ·* vitiose. v. 6. *ζήσῃ ἄνευ ὀδύνης.* v. 7. *τέκνα φάος γ'.* v. 10. *μηδέποτ' ἢ 'ποθανεῖν.*

Transeo nunc ad primam codicis partem, quae nisi me conjectura fallit, partim saeculo XIV. partim XV. exeunte calamo exarata, uno et quinquaginta foliis varia opuscula continet, de quibus nunc ita exponam, ut usus critici, quem praebeant, accurata ratio habeatur. Prima pagina, usu et vetustate valde attrita, leguntur vitae Homeri, quas post Leonem Allatium et Josephum Barnesium e codice Leidensi edidit Ev. Wassenberghius, Franequerae, 1783. Harum prior in nostro codice sic incipit: *Ὅμηρος ὁ ποιητὴς υἱὸς μὲν ἦν κατὰ μέν τινας Μαραθῶνος καὶ Ὑρνηθοῦς* (in cod. Palat. 40, quem ipse contuli, legitur fol. 146. *Μάρωνος,* et in marg. *Μαίωνος, καὶ Ὀρνιθοῦς·* in Leidensi *Μαίωνος καὶ Μυρινθους,* pravo accentu) *κατὰ δὲ ἐνίους Μέλητος τοῦ ποταμοῦ καὶ Κριθηΐδος νύμφης κ. τ. λ.* Praeterea in elegantissimo epigrammate, quod Pisistrati statuae Athenis inscriptum fuisse dicitur, eaedem fere hic inveniuntur scripturae diversitates, quas ad Antholog. Palat. sect. XI. 442. adnotavit Jacobsius, Tom. III. pag. 731. sunt autem hae: v. 1. Vit. I.

ἐξεβίωξε. Vit. II. ἐξεκάλεσεν, depravatum ex eo, quod cod. Palatinus et Leidense exemplar exhibent, ἐξεκύλισεν. v. 2. Vit. I. δῆμος Ἐρεχθῆος καὶ τρὶς ἐπηγάγετο. idem in codd. Palat. 40. et Leid. v. 4. Vit. I. et II. ἤθροισε. v. 6. Vit. I. et II. ἐπακίσαμεν, adstipulantibus codd. Palat. et Leid. in quibus est ἐπακήσαμεν. — Sequuntur fol. 1. vers. med. Ὁμήρου στίχοι οὓς ἐπὶ ταῖς πόλεσιν διατρίβων ἔλεγε. sunt haec epigrammata Homerica, quorum notabiliorem scripturae varietatem ex hoc codice diligentissime enotatam dedit Hermannus in Hymnor. editione pag. 188—195. ita ut perpauca, quae addi possint, reliquerit. epigr. I. v. 2. Cod. vitiose: οἳ πόλον αἰπεινὴν Κύμην ἐριώπιδα κούρης. v. 3. Σαρδήνης, v. 4. θείου. v. 5. Ἕρμου δινήεντος. epigr. II. deest. III. v. 3. λαμπρά τε Σελ. v. 17. scriptum erat ἀλλοδαπὸν, sed eadem manus superscripsit ων. epigr. V. deest. VII. 4. Cod. habet ναύταις non ναύτης. v. 5. ὑπώρειαν. v. 6. αἰδοῖον. epigr. VIII. IX. X. desunt. XV. v. 8. συγκαλέω δ' ἤπειτα, quod praetulerim. v. 22. ὑπερκύψει π··ρὶ ταύτην. in quibus etiamsi iniquo casu tinea locum corroserit, manifestum tamen superest verae lectionis vestigium. XVI. v. 2. μέγα δὲ βρέμει quod reponendum videtur. v. 7. deest in codice, et recte quidem, nisi post hunc versum unum aut plures excidisse statuamus. epigr. XVII. deest. — Haec epigrammata fol. 2. vers. excipiunt notissima libr. I. et II. Iliadis argumenta. Sequitur deinde undetriginta foliis Joannis Tzetzae Iliados Exegesis cum scholiis marginalibus, quorum haud exigua pars in resecta et lacerata foliorum ora periit. Hic liber ita inscriptus est: Εἰς τὴν Ὁμήρου Ἰλιάδα ἐξήγησις Ἰωάννου γραμματικοῦ τοῦ Τζέτζου. edidit eum ex hoc ipso codice, qui, quantum scimus, unicum est hujus exegeseos exemplar, Godofredus Hermannus, una cum Dracone Stratonicensi, Lipsiae, 1812. Folio vacuo interjecto legitur alius exegeseos exordium, quod quum ineditum videatur, totum apponam: Ἐξήγησις τῆς Ἰλιάδος καὶ Ὀδυσσείας Ὁμήρου. Πρὸ τοῦ ἀπάρξασθαι τῆς ἐξηγήσεως εἰδέναι δεῖ, ὅτι ὁ ποιητὴς ἐλλειπτικὸς τῶν ἄρθρων ἐστίν, ὡς δι' ὅλης τῆς ἐξηγήσεως φανερωθήσεται. ἐν τισι δὲ τόποις σπανίως χρὴ προστιθέναι τὰ ἄρθρα, ἔνθα μὴ γένηται προϋποκειμένη γνῶσις· τὰ γὰρ ἄρθρα προεγνωσμένων ἀναπόλησιν ἐμποιοῦσιν. καὶ τοῦτο ἐν τοῖς οἰκείοις χωρίοις γνωσθήσεται. Χρῆται δὲ μέρει λόγου ἀντὶ μέρους, ὡς ἐν τῷ, τὸ μὲν Ἥφαιστος κάμε τεύχων, ῥήματι ἀντὶ μετοχῆς, καὶ μετοχῇ ἀντὶ ῥήματος· τοῦτο γὰρ σημαίνει τοῦτο τὸ χωρίον, ὅτι τοῦτο μὲν τὸ σκῆπτρον ὁ Ἥφαιστος καμὼν καὶ μοχθήσας κατεσκεύασεν. εἰ γὰρ εἴποιμεν κατὰ τὸ κείμενον, οἷον ἔκαμε κατασκευάσας, ἀνόητόν τι λέγοιμεν· οὐ γὰρ πρότερον κατασκευάζει τις, εἶτα μοχθεῖ· τὸ ἐναντίον δὲ μᾶλλον. καὶ πάλιν ἔνθα Διομήδης καυχώμενός φησιν· οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι,

οὐδὲ καταπτώσσειν· εἰ γὰρ ἐκλάβοιμεν τὴν ἔννοιαν κατὰ τὸ κείμενον, ψόγον ἑαυτῷ προσάπτοντα μᾶλλον εὕροιμεν ἤπερ ἔπαινον, ὅπερ ἡρώων ἀνοίκειον ὑπάρχει. οὐ γὰρ τοῦτο λέγει· οὐδαμῶς γάρ μοι πατρῷον φεύγοντι πολεμεῖν οὐδὲ καταπτώσσειν καὶ δειλιᾷν· ἀσύντακτον γὰρ τὸ νόημα καὶ ἐπίψογον· ἀλλὰ μεταβάλλοντες τὴν μετοχὴν εἰς ῥῆμα, καὶ τὸ ῥῆμα εἰς μετοχὴν, συνιστῶμεν ἔννοιαν πρέπουσαν τῇ ἀνδρείᾳ τοῦ ἥρωος· οἷον, οὐδαμῶς μοι πατρῷον ὑπάρχει πολεμοῦντι φεύγειν, οὐδὲ δειλιᾷν καὶ φοβεῖσθαι. Καὶ ἀντωνυμίαι ἀντὶ ἄρθρου, καὶ ἀνάπαλιν· ἔνθα γὰρ μὴ ἔχει τὸ ἄρθρον πτωτικὸν μέρος λόγου ἐπιφερόμενον, ἐκεῖ ἀντὶ ἀντωνυμίας λαμβάνεται· οἷον, ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· ἀντὶ τοῦ οὗτος γάρ· χρῆται γὰρ γένει ἀντὶ γένους, καὶ εἴδει ἀντὶ εἴδους, καὶ ἀριθμῷ ἀντὶ ἀριθμοῦ, ἤγουν πληθυντικῷ ἀντὶ ἑνικοῦ καὶ δυϊκοῦ. ἑνικῷ μὲν, ὅταν ᾖ περιληπτικὸν, ἀντὶ τοῦ ὡς ἔφαν ἡ πληθύς· ἐτάραξεν ὁ δῆμος· (locus mutilatus et corruptus est; lege: οἷον, ὡς φάσαν ἡ πληθύς· ἀντὶ τοῦ, ὡς ἔφαθ' ἡ πληθύς· ὁ δῆμος ἐστασίασαν, ἀντὶ τοῦ, ἐτάραξεν ὁ δῆμος· cf. Eustath. ad Iliad. β'. 278. pag. 220. edit. Rom.) ἑνικὰ γάρ ἐστιν ἀντὶ πληθυντικοῦ ἀριθμοῦ. δυϊκῷ μέντοι ἀντὶ πληθυντικῶν σπανίως εὑρίσκεται χρώμενος, ὡς ἐν τῷ, ἄσσον ἰόντε, ἀντὶ τοῦ ἰόντες. καὶ ἐν τῷ, μήπως ὡς ἀψῖσι λίνου ἁλόντε πανάγροις (sic), ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε. ἀντὶ τοῦ ἁλόντες, τουτέστιν συλληφθέντες. Καὶ ἐπιῤῥήματι ἀντὶ προθέσεων, ἔνθα φησὶν Ἴλιον εἴσω, ἀντὶ τοῦ εἰς τὴν Ἴλιον. Καὶ προθέσει ἀντὶ προθέσεως καὶ ἐπιῤῥήματος, ὡς ἐν τῷ στίχῳ ἐκείνῳ· βωμοῦ ὑπαΐξας πρός ῥα πλατάνιστον ὄρουσεν· τουτέστιν, ὑποκάτωθεν τοῦ βωμοῦ ὁρμήσας εἰς τὴν πλάτανον εἵρπυσε. Καὶ συνδέσμων δὲ μάλιστα τῶν παραπληρωματικῶν προσθέτης ὑπάρχων ὁ ποιητὴς, ὡς καὶ ἐν αὐτῷ τῷ προτεταγμένῳ στίχῳ· ὁ γὰρ ῥὰ σύνδεσμος πλεονάζει. καὶ πάλιν, καί κεν ἐπιθρώσκων· ὁ γὰρ κὲν περιττεύει. Χρῆται δὲ καὶ πτώσει ἀντὶ πτώσεως· οἷον, ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ· καὶ, Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε, ἀντὶ τοῦ Ἀγαμέμνονος, καὶ ἀντὶ τοῦ Αἴαντος. καὶ, αὐτὰρ ὁ αὖτε Θυέστ' (Cod. Θυέστει) Ἀγαμέμνονι λεῖπε φορῆναι, καὶ ἱππότα Νέστωρ, ἀντὶ τοῦ Θυέστης καὶ ἱππότης. Καὶ διαθέσει ἀντὶ διαθέσεως, οἷον, ὅτι ῥα θνήσκοντας ὁρᾶτο, ἀντὶ ἑώρα. Καὶ ἐγκλίσει ἀντὶ ἐγκλίσεως, ὡς ἐν τῷ· ἀγορευέμεν ὡς ἐπιτέλλω, ἀντὶ τοῦ ἀγόρευε. Καὶ χρόνῳ ἀντὶ χρόνου, ἐνεστῶσιν ἀντὶ παρῳχηκότων, καὶ παρῳχηκόσιν ἀντὶ ἐνεστώτων, καὶ ἐνεστῶσιν ἀντὶ μελλόντων καὶ ἀνάπαλιν· καὶ παρῳχηκότος ἀντὶ παρῳχηκότος· ὡς τῷ παρατατικῷ ἀντὶ ἀορίστου, ὥς πού φησιν· ἔδδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ, ἀντὶ ἐπείσθη. Καὶ τῶν ἄλλων

αἱ ἀντιχρήσεις, ὡς διὰ τῶν μεταφράσεων σὺν Θεῷ δηλωθήσεται. — Hoc fragmentum statim subsequuntur Excerpta ex Tryphonis, nobilissimi grammatici tractatu *περὶ λέξεως παθῶν*, persimilia iis, vel potius eadem fere cum iis, quae ex codice Galeano Bibliothecae Coll. SS. Trinitatis apud Cantabrigienses deprompta, primo Musei critici Cantabrig. volumini inseruit Blomfieldius pag. 33—39. Memorabili autem interdum scripturae varietate nostrum exemplar a Galeano differt, quam nunc libet breviter ita indicare, ut servatis numeris, quos dedit Blomfieldius, solos discrepantes locos excerpam. Inscript. *Τρύφωνος περὶ παθῶν λέξεων.* I. Cod. *διαιροῦνται, ποσόν τε καὶ ποιόν.* recte. — *ὡς ἐν κεφαλαίῳ εἰπεῖν.* IV. Cod. *ἐφ' ἑτέρας τάξεις· ὡς ὅταν τὰ δαρτὰ δρατὰ λέγωμεν, καὶ τὸν πορθμὸν προθμόν·* (desunt haec ultima in cod. Galeano) *ὁμοίως καρδίαν κραδίαν, κάρτος κράτος.* V. Cod. *εἰς ἀντιστοιχείαν,* — *αἱμοπόται ἡμοπόται· μέλλαξ μάλλαξ.* XI. Cod. *κατ' ἀρχὴν ἢ συλλαβῆς.* — *εἰλόπεδον θειλόπεδον,* qua lectione firmatur emendatio Blomfieldii. — *κιδνὰς σκιδνάς* — *τίθεται δὲ καὶ τὸ δίγαμμα* — *ἄναξ Γούναξ* (sic). *Ἑλένα Γουλένα* (scriptum est *Γουνέλα*) — *ῥήξεις Γουρήξεις.* XII. Cod. *τῶν πρώτων ἢ δευτέρων συλλ.* — *λάκωσι λελάκωσι* — *κανοποιὸς καννηνοποιός.* XIII. Cod. *εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν μεταστῇ.* — *Ἀπόλλωνι Ἀπόλλωνι· τιθέμενος τῑθέμενος,* — *Τυνδάρεω Τυνδαράω.* XIV. Cod. *ὁμοτόνως.* — *αἰχμὴ αἰχμαιή· αἰγηνοὶ αἰγε* . . . parva lacuna. XV. Cod. *συνήρηται.* — *αἱ εἰς* ~~*ους*~~ *λήγουσαι γενικαὶ περιττοσυλλαβοῦσι* — *πυλῶν πυλέων·* quae lectio melior est quam codicis Galeani: *παλῶν παλαίων.* XIX. Cod. *λύγοις λύγοισι,* XX. Cod. *ἔνδεια δέ ἐστιν ἀφαίρεσις κατ' ἀρχὴν ἀποβολῇ* . . . (lacuna) *στοιχείου ἢ συλλαβῆς· τὸ δὲ πάθος Ἰώνων.* XXI. Cod. haec addit: *δεδέχθαι δέχθαι, δεδεγμένος δέγμενος· εἰ μὴ ἀνάπαλιν τὸ βλῆσθαι καὶ τὸ δέγμενος Αἰολικά.* XXII. Cod. *ὑμὴν ὑμέν.* XXIII. Cod. *ἀνατρέχει δὲ ὀξὺς τόνος καὶ οὗτός ἐστιν ὁ συγκοπτόμενος.* — *κακοδαιμονέστερος καδαιμονέστερος, ὡς παρὰ Ἐπιχάρμῳ· τὸ κάτθανε ἀντὶ τοῦ κατέθανε διὰ τὸ κακόφωνον οὐκ ἤλλακται τὸ τ.* XXIV. Cod. *ἐν ταθιοπίᾳ.* XXV. Cod. *ἄμνειον ἀντὶ τοῦ αἴμνιον.* XXVI. Cod. *ὅταν* — *παρελλείπηται, ὡς παρὰ Ἀλκαίῳ τὸ κάλιον* (scriptum est *κάλλιον*) *ἀντὶ τοῦ κάλλιον· ὀφέλλες ὦφελες· θᾶττον θᾶτον,* desunt haec ultima in cod. Galeano. XXVII. Cod. *ἀποβολὴ ἑνὸς συμφώνου ἐντὸς τῆς πρώτης καὶ τελευταίας συλλαβῆς.* XXVIII. Cod. *δῶμα δῶ· κυκεῶνα κυκεῶ· Ἀπόλλωνα Ἀπόλλω; ὅτι ῶ.* Reliqua desunt in codice. Qui deinceps legitur Anonymi tractatus de metris, rubro liquore sic inscriptus est: *ἀναγκαῖα ταῦτα εἴπερ τινὰ ἄλλα μαθεῖν τῶν μέτρων.* In hoc libello, qui saepissime ad verbum convenit cum notissimis opusculis metricis, nil deprehendi, quod notatu dignum videretur. In-

cipit: ἓξ πάθη ἔχει ὁ ἡρωϊκὸς στίχος· ἔλλειψει ἢ συλλαβὴ ἢ χρόνος ἔμπροσθεν κ. τ. λ. Finitur his verbis: τρισύλλαβοι· δάκτυλος, ἀνάπαιστος, ἀμφίβραχυς, βακχεῖος, παλιμβάκχειος, χορεῖος, Μολοττός, καὶ ἀμφίμακρος. Post haec verba statim incipit Anonymi opusculum de Ionica dialecto, non diversum ab illo, quod a Godofredo Hermanno e cod. Augustano descriptum sub nomine Grammatici Augustani edidit Schaeferus post Gregor. Corinthium pag. 667 sqq. Est hoc autem Joannis grammatici, editum jam antea a Constantino Lascari in appendice grammaticae graecae (ap. Ald. 1512) ubi et initium operis et lacunarum supplementa inveniuntur. Eadem omnia habet nostrum exemplar. Praeterea memorabile est in nostro codice pariter atque in libro Augustano inter grammatici verba versus ex Sophoclis Electra cum glossis temere insertos esse, ita ut dubium esse non possit, quin ex eodem uterque fonte fluxerit. Hunc autem indocti scribae errorem non mirabuntur, qui veteres libros attigerint, quorum saepenumero haec ratio est, ut diversissimae res in eadem pagina arcte et interdum insertim scriptae decurrant. Hujus opusculi initium hoc est: Ἰὰς διάλεκτος λέγεται ἡ τῶν Ἰώνων, ἤγουν Ἀσιανῶν μετοίκων Πελοποννήσου, ᾗ συνεγράψατο Ὅμηρος. Ἡ Ἰὰς τὰ εἰς ας λήγοντα ὀνόματα εἰς ης τρέπει, ἐὰν μὴ ὦσι Δώρια· Ἑρμείας Ἑρμείης· Σωσίας Σωσίης. Hic statim interjecta sunt haec e Sophoclis Electra: μέτωπα συμπαίουσι (v. 717. Herm.) τὰ ἑαυτῶν δηλονότι. μέσον δρόμον (v. 738.) ἤγουν εἰς τὸ μέσον τοῦ τόπου τοῦ δρόμου. ἀθυμεῖς τῷ νῦν λόγῳ (v. 769.) ἀντὶ τοῦ ἐπὶ τῷ νῦν λόγῳ· οὔτ' ἐξ ἡμέρας (v. 770.) ἀντὶ τοῦ ἐφ' ἡμέρας. στεγάζειν (v. 771.) ἀντὶ τοῦ στέγην ἔχειν. ὁ προστατῶν (v. 771.) ὁ ἐνιστάμενος, ὁ παρών. et tum priora sine ullo scripturae discrimine ita continuantur: τὰ εἰς ης λήγοντα, ὧν ἡ γενικὴ εἰς ου περατοῦται, παρ' αὐτοῖς εἰς εω λήγει· Πέρσης Πέρσεω· Ξέρξεω. Sequuntur plura quam quae hic adscribi possint. Lacunae autem codicis Augustani ita explendae sunt: §. I. Ἡ ἐναλλαγὴ τῆς οι διφθόγγου εἰς ες Ἰωνική ἐστιν· ἐρίηρες, ἀντὶ τοῦ ἐρίηροι. §. IX. supple: τῶν ῥημάτων τὰς συνθέσεις, et corrige: δασυνομένας. — καθορῶ κατορῶ. §. X. scribe: τῶν ὑποτακτικῶν χρῆται, οἷον λέγει τὸν θέλω etc. §. XI. Cod. τῷ κ ἀντὶ τοῦ π χρῆται· et in fine: καὶ τὸ ὁπόσος ὁκόσος. §. XII. καὶ τὸν ἄριστον. §. XIX. Cod. λείβων εἴβων. §. XX. Cod. μεταξὺ τῶν προθέσεων τίθησιν· οἷον, ἐξ ὧν εἷλον, ἀπ ὧν (sic) ἔδοντο; ἀντὶ τοῦ ἐξεῖλον καὶ ἀπέδοντο. Lascaris, inepta quidem scriptura, sed ad sensum grammatici accommodata: ἐξ ὧν εἷλον καὶ ἀπ ὧν ἔδοντο. §. XXII. supple: ἀφαιρεῖται, οἷον· et in glossa versus Sophoclei temere huc illati, scribe: τὴν ζωὴν διαβιβάσομεν. §. XXIII. supple: τῷ π ἀντὶ τοῦ φ χρῆται· ἀφικόμην etc. §. XXIV. Cod. μεταξὺ αὐτῶν τι λαμβάνει

§. XXV. Adde ποιεῖται. In fine opusculi adjecta sunt haec aliunde illata: συνεργὸς, ὁ συνεργῶν τινι· σύνεργος δὲ προπαροξυτόνως, ἐπὶ τῶν ἐργατῶν. σμηνύη (corrige σμινύη), σκαφεῖον ἀξιονοπλατοῦ (corrige: ἀξίνῃ παραπλήσιον) περιδέξιον, τὸ εὔστροφον. — Subsequuntur duodecim foliis Manuelis Moschopuli in duos priores Iliados libros scholia, plena variae eruditionis grammaticae, et ad usum poeticae dictionis a communi sermone dignoscendum perutilia. Edidit ea anno superioris saeculi decimo octavo Joannes Scherpezeelius, scholae Harderovicensis apud Batavos rector, e codice perantiquo, qui tum exstabat in Reverendorum Societatis Jesu, quae Antwerpiae erat, Patrum bibliotheca. Est hoc autem illud praestantissimum exemplar, in quo praeter haec Moschopuliana, etiam uberrimum graecae linguae Etymologicum ad nostra usque tempora inexcussum latet, et quod tunc cum Joanne Georgio Graevio communicarat doctissimus et celeberrimus Societatis illius Presbyter, Daniel Papebrochius. Hoc Antwerpiense Etymologicum satis incerta fama est describendum curasse Graevium, ita ut Trajectinum exemplar, quo postea Valckenarius usus est, ex Antwerpiensi defluxerit; auctor autem exstitit Joanni Scherpezeelio, ut inedita Moschopuli scholia ex eodem libro in lucem proferret. Quod is, ut potuit, exsequutus est. Habuit autem librum, nisi me conjectura fallit, ea in parte, qua Moschopulus legebatur, altera multo recentiorem et ab imperito librario descriptum; mutilatum praeterea et temporum injuria affectum, ita ut fieri non potuerit, quin scholia inde lacunosa mendisque inquinata prodirent. Haec autem vitia, quibus medelam conjecturis frustra quaesivit Scherpezeelius, peropportune nunc nostri codicis ope tolluntur fere omnia. Lacunae enim plus quam sexaginta locis expleri, scholia novis accessionibus augeri, et vitiosa partim meliore nostri libri scriptura, partim e Favorini Lexico corrigi potuerunt. Favorinum enim nunc certissimum est praeter alia, quae notissima sunt, etiam totum hoc Moschopuli opus ad verbum fere in suam farraginem transscripsisse; et ipse Scherpezeelius, qui sero quidem a J. H. Lederlino admonitus hoc rescivit, multo plura emendaturus fuisset, si ei hoc critico instrumento prius et rectius uti licuisset. Quod mihi nunc ita faciendum existimavi, ut non solum quid ex his scholiis Moschopulianis, et quo quodque loco quibusque verbis apud Favorinum legatur, diligenter enotarem, sed etiam utri ex utro medela petenda sit, breviter indicarem. Neque hoc docti quidem improbabunt. Sciunt enim, quanti ad haec studia intersit etiam ignobiliorum grammaticorum originem ac fontes penitus nosse; hoc praesertim tempore, quo docti homines de colligendis veteris artis grammaticae reliquiis, quas maximam partem in ejusmodi farraginibus dispersae jacent, et de scribenda grammaticorum graecorum historia critica cogitare incipiant. Sed de Favo-

rino ejusque fontibus alio loco plura dicentur. Restat, ut hoc unum addam, me in annotationibus ad Moschopuliana, quae in utroque codice non ultra secundi Iliados libri versum quadringentesimum octogesimum quartum procedunt, Antwerpiense exemplar, cujus lectiones diligentissime enotavit Scherpezeelius, littera A, Lipsiense autem, quo ego usus sum, littera B significasse. Nunc ultimum commemorandum est, quod in hac prima nostri codicis parte legitur, opusculum sic inscriptum: *Ἡρόδοτος ὁ Ἁλικαρνασσεὺς περὶ Ὁμήρου γενέσιος καὶ ἡλικίης καὶ βιοτῆς τάδε ἱστόρηκεν· ζητήσας ἐπεξελθεῖν εἰς τὸ ἀτρεκέστατον* κ. τ. λ. Implet duo folia scriptura valde minuta, et desinit his verbis: *τῶν δὲ Τρωϊκῶν ὕστερον γέγονεν Ὅμηρος ἔτεσιν ἑκατὸν ἑξήκοντα ὀκτώ.* Sequuntur duo folia vacua.

CORRIGENDA.

Pag.	1,	9	scrib.	*κινηθεῖσα.*
—	2,	5	—	*τὸ*
—	—	20	—	*μετρικῆς*
—	4,	17	—	*ἐνταῦθα.*
—	5,	11	—	*ἄρθρου*
—	6,	18	—	*τάξει*
—	7,	5	—	*αὔξοντα*
—	8,	9	—	*ἐπιγενόμενον*
—	9,	3	—	*τοίνυν*
—	13,	18	—	*πρᾶξαι*
—	14,	3	—	*τὸ*
—	18,	15	—	*τούτου*
—	23,	9	—	*ταὐτὸν* et sic saepins.
—	33,	8	—	*ἐτάχθη*
—	34,	14 et 15	—	*ἀπηύρα.*
—	44.	9	—	*νεφεληγερέτα.*

ΤΕΧΝΟΛΟΓΙΑ ΚΑΝΟΝΙΣΜΑΤΩΝ ΣΥΛΛΕΓΕΝΤΩΝ ΕΚ ΤΗΣ ΠΑΡΑΦΡΑΣΕΩΣ ΚΥΡΙΟΥ ΜΑΝΟΥΗΛ ΤΟΥ ΜΟΣΧΟΠΟΥΛΟΥ ΤΩΝ ΔΥΟ ΡΑΨΩΙΔΙΩΝ ΤΟΥ ΟΜΗΡΟΥ.

Μῆνιν: ὀργίζεσθαι θυμοῦσθαι καὶ χολοῦσθαι ταὐτὸν, πλὴν ὅτι τὰ μὲν εἰσι παρὰ τοῖς κοινοῖς ἐν χρήσει, τὸ δὲ χολοῦσθαι ποιητικόν. ὀνόματα δὲ αὐτῶν ὀργὴ θυμὸς καὶ χόλος· τὸ μὲν ἀπὸ τῆς χολῆς· τὸ δὲ ἀπὸ τοῦ θύειν τὸ ὁρμᾶν· τὸ δὲ ἀπὸ τοῦ ἐγείρεσθαι καὶ οἰδαίνειν· οἰδαίνει γὰρ τὴν ψυχὴν ὁ ὀργιζόμενος. λέγεται θυμὸς καὶ ἡ ψυχὴ ποιητικῶς· κινεθεῖσα δὲ ἡ ὀργὴ, εἶτα μὴ ἀφεθεῖσα, ἀλλὰ παραμείνασα μῆνις λέγεται καὶ μένος, παρὰ τὸ μένειν. ὧν τὸ μὲν ἐστι κοινὸν, ἡ μῆνις· τὸ δὲ ποιητικὸν, τὸ μένος· ῥῆμα δὲ αὐτῶν τὸ μηνίειν. λέγεται μένος καὶ τὸ ἔμμονον ἐν πολέμῳ ἔργον, ἀπὸ τούτου καὶ ἡ ἰσχύς. τὸ ὀργίζεσθαι δὲ, εἰ ἐπιταθείη καὶ ἀγανάκτησιν προσλάβοι ἀμυντικὴν, χώεσθαι λέγεται καὶ σκύζεσθαι· καὶ ἔτι ἐκισκύ-

---

1. In fronte Cod. A. haec legitur inscriptio: *Ἐμανουήλου τροῦ Μοσχοπούλου τεχνολογία καὶ ἀνάπτυξις τῶν λέξεων τοῦ πρώτου βιβλίου τοῦ Ὁμήρου.*
5. *κοινοῖς* deest in Cod. A. **8.** deest articulus *ὁ* in Cod. A. **9.** Favorinus qui totum hunc locum transscripsit, habet *παραμένουσα* fol. 392. vers. edit. Rom.

10. Cod. B. *μῆνις λέγεται καὶ μένος* (sic). Indicavit librarius etymologicam rationem, qua in talibus utuntur grammatici; ut auctor inediti libelli in Cod. Coislin. CCCLXXXVII. saec. X. fol. 155 — 218. *Ἐπιμέρισμοι σὺν θεῷ τῆς ά Ὁμήρου· μῆνις ὄνομα προσηγορικὸν ῥηματικὸν, παρὰ τὸ μένω μένις καὶ μῆνις.* Vid. ap. Montefalc. p. 598.

11. Post *ποητικὸν* inserui ex Favorino *τὸ μένος*, quod in utroque Codice deest. ibid. Cod. B. vitiose: *ῥῆμα δὲ αὐτὸ τὸ μηνύειν.* **12.** Cod. B. *λέγεται μῆνις.* Sequentia ita leguntur apud Favorinum: *καὶ τὸ ἐμμένον ἐν πολεμίῳ ἔργῳ.*
14. Cod. A. corrupte: *χώεσθαι λέγεται ἔτι ἐπισκύζεσθαι μετὰ τῆς ἐπιτελέστερον.* et ibidem Scherpezeelius: „locus hic est corruptus, et qui recte sanari possit, nondum perspicio. forte scripsit Moschopulus: *ἔτι ἐπισκύζεσθαι μετὰ τούτου, ἐπιτελέστερον.* Sensus foret, pro *ὀργίζεσθαι*, si iratus animus accenderetur desiderio ultionis, *χώεσθαι* dici, etiam *ἐπισκύζεσθαι*, idque consummatius fore, h. e. iram ferventiorem indicare." Quae dubitationes nunc nostri Codicis ope diluuntur.

ζεσθαι μετὰ τῆς ἐπὶ ἐντελέστερον· δηλοῖ γὰρ ταῦτα οὐχ ἁπλῶς τὸ ὀργίζεσθαι, ἀλλὰ μετὰ τούτου καὶ τὸ ζητεῖν ἀμυνεῖσθαι καὶ κακοποιήσειν. Γίνεται τὸ μὲν αὐτῶν ἀπὸ τοῦ χωννύω καὶ τῶν χωμάτων· τὸ δὲ, ἀπὸ τοῦ τοὺς κατεσχημένους τούτῳ τῷ πάθει συνάγειν τὸ ἐπισκύνιον· ἐπισκύνιον δέ ἐστι τὸ μεταξὺ τῶν ὀφρύων. ταῦτα δὲ ἐναποτεθέντα τῇ ψυχῇ καὶ παραμείναντα τὸ κοτεῖν ποιεῖ καὶ τὸν κότον. ἔστι γὰρ κότος ὀργὴ ἐναποτεθειμένη τῇ ψυχῇ μετὰ ἀγανακτήσεως ἀμυκτικῆς. πάλιν ἄχνυμαι, λυποῦμαι καὶ ἀλγῶ ταὐτόν. τὸ μὲν παρὰ ποιηταῖς· τὸ δὲ λυποῦμαι καὶ ἀλγῶ, κοινά· ὧν ὀνόματα τὸ ἄχος, ἡ λύπη καὶ τὸ ἄλγος. εἰ δὲ ἐπιταθείη τὸ ἄχνυμαι καὶ περιττεύσειε τὴν ἀγανάκτησιν, ἄχθεσθαι λέγεται καὶ βαρύνεσθαι, καὶ ὀχθεῖν ποιητικῶς, ὃ καὶ προσοχθίζειν λέγεται παρὰ τοῖς κοινοῖς· ὧν τὸ μὲν παρὰ τὴν ὄχθην λέγεται· τὰ δὲ, παρὰ τὸ βάρος καὶ ἄχθος. διαφέρει δὲ τὸ χώεσθαι τούτων, εἰ καὶ ἀπὸ τῆς παραγωγῆς τὸ αὐτὸ δοκεῖ δύνασθαι, τῷ τὸ μὲν ἐπίτασιν ἔχειν ὀργῆς· ταῦτα δὲ λύπης. — ἄειδε· ᾄδειν τὸ ψάλλειν καὶ τὸ φημίζειν. καὶ παθητικῶς ᾄδεται μέλος, ἤγουν ψάλλεται. καὶ ᾄδεται λόγος, ἤτοι φημίζεται, καὶ περιλαλεῖται· ἀπὸ τοῦ ᾄδειν τὸ ψάλλειν λέγεται ᾄδειν καὶ τὸ ἐμμέτρως καὶ ἐμμελῶς λέγειν· καθὸ λέγονται καὶ ποιηταὶ ᾄδειν, μετρικῆς* καὶ μελικῆς * χάριτος φροντίζοντες· καὶ ἔτι συγγραφεῖς καὶ ῥήτορες ἐν ἐπαίνου μοίρᾳ· τούτοις γὰρ εἰ καὶ μὴ μέτρα ἐστὶ τεταγμένα, ἀλλ' οὖν ὁ λόγος εὔρυθμος ἄλλως ἐστὶν αὐτοῖς καὶ πλησίον μέτρου. οὐλομένην· παρὰ τὸ μένος καὶ τὸ ὀλοὸν συντίθησιν

1. Cod. A. μετὰ τῆς ἐπιτελέστερον. Cod. B. εὐτελέστερον. Emendavi ex Favorino. 2. Cod. A. ἀμύνεσθαι. idem Favorinus. 4. Cod. B. κατισχυμένους. Favorinus: κατισχημένους. 6. Favorin. ἐναποτιθέντα et in seqq. ἐναποτιθειμένη. 8. Vid. Favorin. Lex. fol. 97. vers. edit. Rom. 9. Cod. A. τὰ δὲ, λυπ. 10. Cod. A. ἐπιθείη. 11. Cod. A. addit καὶ ante ἄχθεσθαι.

13. Cod. A. vitiose: ὧν τὸ μὲν γίνεται παρὰ τὴν ὄχθην, λέγεται τὸ δέ — Cod. B. ὄχθον. 15. Cod. A. τοῦτο μὲν, omisso τῷ. vitiose; τῷ enim requiritur ob antecedens διαφέρει. 16. ᾄδειν. Favorin. Lex. fol. 10 rect. usque ad verba καθὸ λέγονται ποιηταὶ ᾄδειν. et fol. 12 rect. init. 18. Locus apud Scherpezeelium vitiosa interpunctione turbatus: ἀπὸ τοῦ ᾄδειν καὶ ψάλλειν. Λέγεται δὲ etc. 20. Verba καὶ μελικῆς desunt in Cod. A. 22. Cod. A. ἐν αὐτοῖς. 23. οὐλομένην: Favorin. Lex. fol. 399 rect. et Eclog. p. 331. Dind. Ibid. Cod. B. παρὰ τὸ μένειν.

ὁ Πορφύριος τὸν οὐλόμενον καὶ τὴν οὐλομένην μῆνιν. ἔστι γὰρ, φησίν, οὐλόμενος μὲν ὁ ὁλοὸν ἔχων μένος ἤγουν σθένος, τουτέστιν, ὁ φθαρτικὴν ἀρετὴν κεκτημένος· ἀρετὴ γὰρ τὸ σθένος· οὐλομένη δὲ μῆνις, ἡ ἐξ ὁλοοῦ μένους γεγεννημένη· οὐ γὰρ αὐτὴ εἶχε τὸ ὁλοὸν μένος, ἀλλ' ὁ Ἀχιλλεὺς ὁ χρησάμενος αὐτῇ. οὐ δοκεῖ δὲ ἀκριβῶς ἔχειν ἡ ἀπόδοσις αὕτη. λέγεται γὰρ καὶ οὐλόμενον γῆρας καὶ οὐλομένη πενία, καὶ ὀλόμενον Πάριν ὁ Εὐριπίδης φησίν. ἐφ' ὧν οὐκ ἔχει οὐδεμίαν χώραν ταῦτα τὰ σημαινόμενα· τῷ μὲν γὰρ Πάριδι σθένος οὐδεὶς μαρτυρεῖ· πενία δὲ καὶ γῆρας πῶς ἂν εἴη κατὰ ταῦτα οὐλόμενα; εἰ δ' ἐπὶ τούτων βιάσαιτό τις τὸν λόγον, μεταφέρων τὸ σημαινόμενον ἐπὶ τῆς βλαπτικῆς ἁπλῶς ὁρμῆς καὶ δραστηριότητος· ἀλλ' ἐπὶ τοῦ Πάριδος κατ' οὐδεμίαν ἁρμόσειεν ἂν μηχανήν. ἔστι δὲ δὴ ταῦτα μᾶλλον ὀνόματα μετοχικὰ, ὡς ἔοικεν, ἀπὸ τοῦ ὠλόμην, καὶ δηλοῖ τὸν ἀπωλείας ἄξιον * καὶ τὴν ἀπωλείας ἀξίαν. * ὀνόματα δὲ εἴρηται μετοχικὰ, ἀλλ' οὐ μετοχαί· ἐπεὶ εἰ ἦσαν μετοχαὶ, ἔμενον ἂν ἐπὶ τοῦ σημαινομένου τῆς μετοχῆς, καὶ ἦν ἂν οὐλόμενος μὲν ὁ φθαρεὶς, οὐλομένη δὲ ἡ φθαρεῖσα. νῦν δὲ ἐπεὶ μετέπεσον ἐφ' ἕτερον σημαινόμενον, ἀπέστησαν καὶ τοῦ μετοχαὶ εἶναι. — ἔθηκε· δύο εἰσὶν ἄκραι, τὸ αἴρειν καὶ τὸ τιθέναι· μέσον δὲ τούτων τὸ ἐπιφέρειν· τίθεται δὲ πολλάκις θάτερον τούτων τῶν ἄκρων ἀντὶ τοῦ μέσου.

οὐδὲν παθέων ἀποκουφίζουσ'
ἀλλ' ἀγγελίας βάρος ἀραμένη
μέγα·

1. Cod. B. vitiose τὸν ὀλούμενον. 2. μὲν om. Cod. AB. Favorinus: οὐλόμενος μὲν, καὶ ὁ ὁλοὸν etc. Ib. Cod. A. ἢ σθένος. 3. Cod. A. vitiose: οὐλομένη γὰρ μῆνις. 4. Cod. A. et Favorin. εἶχεν ὁλοὸν om. τὸ. 6. Cod. A. λέγεται δὲ καὶ. Cod. B. λέγεται καὶ. Recepi γὰρ ex Favorino. Ib. γῆρας τ'. οὐλόμενον Hesiod. Theog. 225. et οὐλομένην πενίην Hesiod. ἐργ. 715. 7. Cod. B. recte ὀλόμενον Πάριν. Cod. A. et Favorin. οὐλόμενον. Locus est in Eurip. Oreste v. 1358. Pors. 8. Cod. A. χώραν οὐδὲ μίαν. 9. Cod. A. πενία γὰρ καὶ. 10. Cod. B. ἐπὶ τούτῳ. 13. Cod. A. ἔστι δὴ ταῦτα. Cod. B. ἔστι δὲ δὴ ταῦτα. Favorin. ἔστι δὲ ταῦτα. Ib. Verba ὡς ἔοικεν desunt in Cod. A. 14. Verba, quae stellulis distinxi, desunt in Cod. A. Habet ea Favorinus. 15. Cod. A. ἀλλ' οὐχὶ. 16. Deest primum ἂν apud Favorinum. 20. Cod. A. θατέρα τούτων τῶν ἀκρῶν. 21. Sunt verba Euripidis in Hecub. v. 103 sqq. Codex uterque ἀποκουφίζουσα et ἀραμένη.

ἀντὶ τοῦ ἐπιφέρουσα· καὶ ἐνταῦθα,

μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκεν,

ἀντὶ τοῦ ἐπήνεγκε· κατὰ τοῦτο λέγεται τὸ ἔθηκεν. ἔστιν ὅτε καὶ ἀντὶ τοῦ ἐποίησεν· τὸ γὰρ γινόμενον ἤδη τελεσθὲν, κεῖσθαι τίθεται. ἔστι δὴ κἀνταῦθα ἄκρα μὲν, τὸ ἄρχομαι ποιεῖν, καὶ τὸ πεποιηκὸς ἤδη, κεῖσθαι τίθημι· μέσον δὲ τὸ ποιῶ. — ἰφθίμους: ἀπὸ τοῦ ἶφι, κατὰ παραγωγὴν, καὶ πλεονασμῷ τοῦ θ. — προΐαψεν: ἀντὶ τοῦ βλάψασα ἐπέμψεν. ἡ πρὸ περισσὴ, ὡς ἐν τῷ προλιπεῖν. γίνεται δὲ ἀπὸ τοῦ ἴπτω κατὰ πλεονασμὸν τοῦ ᾱ· ἔστι δὲ τὸ ῑ ἀναύξητον κατὰ Ἴωνας· τὸ γὰρ ῑ καὶ τὸ ῡ, τὰ αὐτὰ μένοντα ἐκ τοῖς παρῳχημένοις, διὰ τοῦτο γὰρ ἀμετάβολα λέγονται· ὅμως μεταβάλλει τὸν χρόνον, εἰ βραχέα εἰσὶν ἐν τῷ ἐνεστῶτι. — τεῦχε κύνεσσιν· τὸ πᾶσιν ἀπὸ κοινοῦ, ἵν' ᾖ: τὰ σώματα δὲ αὐτῶν ἐποίησε σπαράγματα πᾶσι τοῖς κυσὶ καὶ πᾶσι τοῖς ὀρνέοις, ἀντὶ τοῦ, πολλοῖς κυσὶ καὶ πολλοῖς ὀρνέοις· ὡς ἐν τῷ,

θεοὶ δ' ἅμα πάντες ἕποντο.

καὶ ἐν. ταῦθα γὰρ τὸ πάντες ἀντὶ τοῦ πλείους· ἐν ἄλλοις δὲ περισσὸν τοῦτο τιθῆσιν· ὡς ἐν τῷ,

οἱ δ' ἐννέα πάντες ἀνέσταν·

καὶ,

τριχθὰ δὲ πάντα δέδασται.

ξυνέηκα· πλεονάζει ἐν τούτῳ τὸ ε̄ ποιητικῶς, ὡς καὶ ἐν τῷ ἔειπεν. οὐχ οἱ ποιηταὶ δὲ μόνον χρῶνται τῇ τοιαύτῃ προσθήκῃ ἐπὶ τοῦ ἀορίστου, ἀλλ' ἤδη καὶ οἱ Ἀττικοὶ, εἴ γε τὸ ἀνέῳξα Ἀττικόν. πλεονάζουσι μέντοι ἐν τούτῳ οἱ ποιηταὶ κατὰ τὸν

3. Cod. A. post ἔθηκεν haec habet: ἀντὶ τοῦ ἐποίησεν· τὸ γὰρ γινόμενον etc. lacunose et turbato sensu. Locum nostri Codicis ope supplevimus. 5. Cod. B. ὅτι δὴ κἀνταῦθα. Vitiose in Cod. A. bis repetita leguntur ἄκρα μὲν ἄκρα μὲν τὸ. 6. Cod. A. ᾔδει. 8. προλιπεῖν. Odyss. ν'. 331. 10. Cod. A. μένονται. 11. Cod. A. om. γὰρ male, et vitiosius etiam est, quod statim habet, μεταβάλλεις. 16. Iliad. α'. 424. 19. Iliad. η'. 161. 21. Cod. B. πάντες. Iliad. ο'. 189. 23. Cod. B. vitiose ἐξίπω. 24. Favorin. Lex. fol. 380. rect. ἀλλὰ ἤδη καὶ οἱ Ἀττικοί· καὶ ἑώρακα ἀντὶ τοῦ ὤρακα, καὶ ἔωσμαι καὶ ἐωνησάμην καὶ ἄλλα. Cf. Maxim. Planud. περ. γραμ. p. 52, 2 sqq. 25. Cod. A. ἐν τῷ τοιούτῳ.

ἀόριστον· ἐπὶ δὲ τοῦ παρακειμένου καὶ ἔτι τοῦ παρατατικοῦ πολλὴ τούτου καὶ παρὰ τοῖς Ἀττικοῖς ἡ χρῆσις. — νοῦσον κακήν· ἐξαιρέτως ἀντὶ τοῦ πάνυ βαρεῖαν καὶ κάκωσιν πολλὴν ἔχουσαν. οὐ γὰρ κακὴν αὐτὴν λέγει, ὅτι δύναται εἶναι καὶ μὴ κάκωσιν ἔχουσα νόσος. κακὸν τὸ ἐναντίον τῷ ἀγαθῷ ἀπὸ τοῦ κακοῦν· κακὸς δὲ ὁ μετέχων κακοῦ, τουτέστι τρόπου κακωτικοῦ, ἢ δυνάμεως κακωτικῆς· ὥσπερ ἀγαθὸς ὁ μετέχων ἀγαθοῦ τρόπου ἢ δυνάμεως ἀγαθῆς. λέγεται κακὸς καὶ ὁ δειλὸς, διὰ τὸ κεκακῶσθαι τὴν ψυχήν. — ὀλέκοντο· ἀπὸ τοῦ ὤλεκα ἐνεστὼς ὀλέκω, ὡς ἀπὸ τοῦ δέδοικα, δεδοίκω. — τὸν Χρύσην ἠτίμησ' ἀρητῆρα· ἢ ἄρθρῳ ὁ λόγος ἐλλείπει, ἢ ἀντιστρόφως λέγεται. ἐπιθέτου γὰρ ὄντος καὶ κυρίου καὶ ἔτι ἄρθρου, εἰ μὲν σὺν τῷ ἐπιθέτῳ τὸ ἄρθρον κεῖται, συνυπακούεται αὐτῷ καὶ τὸ κύριον, καὶ καταλλήλως ὁ λόγος ἔχει: εἰ δὲ τὸ κύριον αὐτὸ λάβοι, οὐκέτι τὸ ἐπίθετον συνυπακούεται: ἀπαιτεῖ γὰρ τὴν ἀναφορὰν τοῦ ἄρθρου, ἧς αὐτὸ μᾶλλον χρήζει ἢ τὸ κύριον: διὸ καὶ μεθ' ἑαυτοῦ τὸ ἄρθρον ἔχον, συνυπάγει τὸ κύριον, καὶ ἐντελῆ ποιεῖ τὸν λόγον. εἰ μέντοι καὶ σὺν αὐτῷ* τὸ ἄρθρον τεθείη, ἐντελὴς καὶ οὗτος ὁ λόγος γίνεται, οὐδὲν οὔτε περιττὸν ἔχων, οὔτε ἐλλεῖπον. ἐνταῦθα δὴ ἢ ἀντιστρόφως κεῖται τὸ ἄρθρον σὺν τῷ* κυρίῳ ὀφεῖλον μετὰ τοῦ ἐπιθέτου κεῖσθαι, ἢ ἕτερον ἄρθρον

1. Cod. A. *καὶ ἐπὶ ταῦ.* 5. Hic locus apud Scherpezeelium scripturae et interpunctionis vitio laborat: *κάκωσιν ἔχουσα. νόσος κακὴ τὸ ἐναντίον* etc.

7. Cod. A. om. *ἀγαθοῦ.* 8. Cod. A. *ὁ δηλὸς διὰ τὸ κεκακῶσαι·* corrupta quidem scriptura, verae tamen proprior, quam quae adhuc edita est, *κακῶσαι.*

9. Cod. A. et B. *ἀπὸ τοῦ ὀλώλεκα.* Sed recte Favorinus fol. 386. rect. *ἀπὸ τοῦ ὤλεκα ἐνεστὼς ὀλέκω.* Quam Herodiani sententiam fuisse discimus ex Etym. M. p. 253, 27. Alia erat Alexandri Cotyaei opinio, quam legimus in eod. Etym. p. 253, 14. jam a vett. crit. explosa. Eam repetit *Favorin.* Eclog. p. 308, 30. Dind. cf. Etym. M. p. 621, 27. Etym. Gud. p. 425, 26.

10. Cod. A. *δεδόκω.* Correxit Scherp. in adnotatione allato Theocriti loco ex Id. XV. 58. 11. Cod. A. *ἐκλείπει.* 12. Cod. B. *ἐπιθέτου παρόντος.*

14. Cod. B. *λαβοίη.* Cod. A. *συνυπάγεται.* 16. Cod. A. *μεθ' αὐτοῦ,* quod primus editor corrupit in *μετ' αὐτοῦ.* Ib. Cod. A. *συνηπάγει.* Scherp. *συνεπάγει.* 17. Editum est a Scherpezeelio ex Cod. A.: *καὶ σὺν αὐτῷ κυρίῳ ὀφεῖλον,* sine sensu, et omissis his omnibus, quae nunc primum ex Cod. B. protulimus.

δεῖ συνυπακούειν τῷ λόγῳ, ἵν' ᾖ, τὸν Χρύσην τὸν ἀρητῆρα. εἰ δὲ κατ' εὐθεῖαν ὁ λόγος λέγεται, δύναται καὶ μετὰ τοῦ κυρίου τὸ ἄρθρον ἔχειν, καὶ ἐντελῶς ἄλλον ἔχει τρόπον. οἷον, ἔστω μὲν κύριον ὄνομα Πέτρος· ἔστω δὲ καὶ ἐπίθετον χαλκεὺς, καὶ ἄρθρον τὸ ὁ· εἶτα τεθείσθω μετὰ τοῦ κυρίου τὸ ἄρθρον, ἵν' ᾖ, ὁ Πέτρος χαλκεύς· καὶ ἔχει ὁ λόγος ἐντελῶς· συνυπακουόμενον γὰρ ἔχει ἐξ ἀνάγκης ὑπαρκτικὸν ῥῆμα, καὶ δύναται ταυτὸ τῷ, ὁ Πέτρος χαλκεύς ἐστιν. εἰ δὲ ἐπάγεται πρᾶξίς τις, ἀλλ' οὐχ ὡς πρότασις μόνον τοῦτο λαμβάνεται, οὐκέτι οὐδ' οὕτως ἐντελῶς ἔχει. οὐ δύναται γάρ τις λέγειν· ὁ Πέτρος χαλκεὺς ἐποίησε τόδε. — θοὰς ἐπὶ νῆας· θοὰς ναῦς λέγει τὰς ταχείας, ἢ τὰς ἐπιμήκεις καὶ ὀξείας τῷ σχήματι, ἃς καὶ μακρὰς λέγουσι πρὸς ἀντιδιαστολὴν τῶν στρογγύλων. — θύγατρα· τὴν θυγατέρα· ἀναβιβάζει δὲ τὸν τόνον διὰ τὸ πάθος, ὡς καὶ τὸ ἕταρον καὶ ἔτι τὸ βλήμενος καὶ φθίμενος· τὸ μὲν ἀντὶ τοῦ βεβλημένος, τὸ δὲ ἀντὶ τοῦ ἐφθιμένος. — ἀπερείσια· ἀπὸ τοῦ ἄπειρα ἀπειρέσια, καὶ κατὰ μετάθεσιν ἀπερείσια, ἀντὶ τοῦ πλεῖστα, ἢ ὑπερβαλλόντως καλά. — κοσμήτορε λαῶν· κοσμήτωρ, ὁ παιδεύων καὶ πάντων ἐν κόσμῳ ἤτοι τάξει, ἤγουν ὁ βασιλεύς· καὶ ὁ ἐγκωμιαστής· ἐνταῦθα τὸ πρότερον. — εὐκνημῖδες· ἀντὶ τοῦ εὔοπλοι· εὐφυῶς ἔχοντες ἐν τοῖς ὅπλοις, ἤτοι πολεμισταί· ἀπὸ μέρους τῆς πάσης ὁπλίσεως νοουμένης. — λύσαιτε· ἀντὶ τοῦ λύσατε· τὸ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ. — Ἐπευφήμησαν: ἀντὶ τοῦ ἐπεβόησαν, ὡς εὐ-

---

3. Cod. A. ἔχει, et statim ἄλλον ἔχειν. Ib. Deest οἷον in Cod. A. 6. Cod. A. ἔχῃ. 7. Cod. B. καὶ δυνάμενον. Ib. Cod. A. om. εἰ δὲ.

12. Vitiose editum ex Cod. A.: ὡς τὸ καὶ ἐπὶ τὸ βλήμενος, τὸ μὲν etc. Certam loci medelam praebuit Cod. B. Cf. Favorin. Lex. fol. 204. vers.

15. Cod. A. ἀπὸ τοῦ ἀπειρέσια om. ἄπειρα.

16. Cod. A. ὑπερβαλλόντως καλλὰ (sic) quod editor praepropere mutavit in πολλά: fuerunt enim inter Grammaticos, qui hanc vocem longe aliter interpretarentur. Vid. *Eustath.* p. 28, 37, et Schol. Venet. ad h. l. *Favorin.* Lex. fol. 66. vers. ἀπερείσια ἄποινα, ἀγλαὰ ὡς Ὅμηρος, τὰ αἰγλήεντα, ἢ ἀγλαΐαν ἔχοντα. Idem in *Eclog.* p. 120, 18. Dind.

17. *Favorin.* Lex. fol. 315. vers. 18. Cod. A. om. alterum ὁ. 19. *Favorin.* Lex. fol. 229. vers. 21. Cod. B. νοούμενος vitiose.

καρπον θέρος παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ καρποφόρου, καὶ εὔκερως ἄγρα ἀντὶ τοῦ κερασφόρος ἁπλῶς. — δέχθαι· ἀντὶ τοῦ δεδέχθαι· ἔστι δὲ τῶν Ἰώνων· παρ' αὐτοῖς γὰρ οὐδὲν ῥῆμα ἐπὶ τῶν παρῳχημένων τὴν ἄρχουσαν αὔξει κατ' οὐδεμίαν αὔξησιν· τὰ μὲν οὖν μὴ κατ' ἀναδιπλασιασμὸν αὔξοντα ὡς ἐνταῦθα τὸ δέχθαι, ἄρσιν λέγουσί τινες παθεῖν· ἴσως οὐ καλῶς. ἄρσις γὰρ παρὰ τὸ αἴρειν· αἴρεται δὲ τὸ ὄν, οὐχὶ τὸ μὴ ὄν· τὸ δὲ δέχθαι οἱ Ἴωνες οὐκ ἀπὸ τοῦ δεδέχθαι ποιοῦσιν, αἴροντες τὸν ἀναδιπλασιασμὸν, ἀλλὰ τὸν ἐνεστῶτα ἀναύξητον κατὰ τὴν αὐτῶν συνήθειαν φυλάττοντες· μὴ προχωρησάσης δὲ αὐξήσεως κατὰ τὴν ἀρχὴν, ἄρσις αὐτῆς πῶς ἂν εἴη; εἰ μή τις, ὡς τὴν στέρησιν λέγουσιν οὐκ ἐπὶ τῶν γεγονότων ἐξ ἀνάγκης ὅταν ἀφαιρεθῇ, ἀλλ' ἐπὶ τοῦ μὴ ἔχοντος ἁπλῶς ὃ ὤφειλεν ἔχειν, εἰ καὶ μηδέποτε τοῦτο ἔσχεν, οὕτω καὶ τὴν ἄρσιν λέγοι ἐπὶ τοῦ ὀφείλοντος παρεῖναι, εἶτα μὴ παρόντος, οὐκ ἐξ ἀνάγκης ἐπὶ τοῦ προσγεγονότος, εἶτα ἀφαιρεθέντος. — ἀφίει· ἀναύξητον καὶ τοῦτο. ὤφειλε γὰρ ἠφίει· ἐνεστὼς ἀφίημι, παρατατικὸς ἠφίουν, ὡς ἐτίθουν, τὸ τρίτον ἠφίει· λέγεται μὲν οὖν τὸ ἠφίει ἐπὶ φωνῆς καὶ βέλους, καὶ τοῦ ἀπολύειν καὶ τοῦ καταλιμπάνειν τι ἐκ διαθήκης ἢ κατ' ἄλλον τινὰ τρόπον. ἐνταῦθα δὲ ἀντὶ τοῦ ἀπέπεμψε λαμβάνεται. — κρατερὸν μῦθον· ἤγουν ἐπίταγμα δυναστείας καὶ ἐπικρατείας ἐχόμενον· οὐ γὰρ ἰσχυρὸν τὸ ἐπίταγμα λέγει, ὅτι δικαιολογίαν τινὰ ἔχει, καὶ ταύτῃ τῇ ἰσχύϊ καὶ δύναται πείθειν· ἀλλ' ὅτι μετὰ ἐξουσίας λέγεται, καὶ τὴν ἰσχὺν τῇ δυνάμει τοῦ λέγοντος περιγράφει. — πρίν μιν καὶ γῆρας ἔπεισιν· οὐ περιττὸς ὁ καὶ, ἀλλ' ἀντὶ τοῦ καὶ ταῦτα, ἵν' ᾖ, καὶ ταῦτα πρότερον, πρὶν ἐπ' αὐτὴν

---

1. Soph. Aj. v. 671. et v. 64. Cod. A. εὔκαιρως ἄκρα. 3. Cod. A. om. δὲ. 5. Cod. B. κατὰδιπλασιασμόν. Ib. Cod. A. τὸ δέχεσθαι. vitiose. 7. Cod. A. αἴρεται γὰρ. et statim τὸ δέχεσθαι δὲ. 10. κατὰ deest in Cod. B. 13. Cod. B. λέγει. 15. Scherpezeelius contra Codd. auctoritatem dedit προγεγονότος.

16. Verba ἐνεστὼς ἀφίημι usque ad ἐκ διαθήκης desunt in Cod. B. Leguntur in Cod. A. et apud Favorin. Lex, fol. 95. rect. Cod. A. τὸ καταλιμπάνειν τὸ, vitiose. *Favorin.* ἐν διαθήκαις. 19. Cod. B. τινὰ τόπον. 20. Cod. B. ἐπικρατείαν. 22. Cod. A. om. ἔχει et statim habet καὶ ταύτῃ ἰσχύει.

24. Cod. A. in lemmate exhibet: πρίν μοι.

τὸ γῆρας ἐλεύσεται· τοιοῦτον καὶ ἐν τῇ Ὀδυσσείᾳ τὸ

ἦ δὴ ἀλιτρός γ' ἐσσὶ, καὶ οὐκ ἀποφώλια εἰδὼς,

ἀντὶ τοῦ, καὶ ταῦτα οὐκ ἀπαίδευτος ὤν. εἰ γὰρ μὴ οὕτω ληφθείη, ἐναντίος ὁ λόγος δοκεῖ· τὸ πρὶν ὅτε τὸ πρότερον δηλοῖ, ἢ μόνον ἐστὶ, καὶ μετὰ παρεληλυθότος ἁπλῶς ὁριστικοῦ λέγεται, οἷον,

πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων·

ἢ καὶ ἕτερον πρὶν ἔχει ἐπαγόμενον. ὅτε τοῦτο μὲν πρὸς τὸ ἐπαγόμενον ἔχει ἀφορῶσαν τὴν ἑαυτοῦ δύναμιν, καὶ διὰ τοῦτο καὶ ἐπὶ παρεληλυθότος λέγεται, καὶ ἐπὶ ἐνεστῶτος, καὶ ἐπὶ μέλλοντος· * τὸ δὲ ἐπιγόνόμενον * τὸ προτοῦ δηλοῖ ἐξ ἀνάγκης. καὶ εἰ μὲν μόνον ἐστὶν, ἀπαρεμφάτῳ πάντως συντάσσεται, ἢ ὁριστικῷ· ὡς καὶ ἐνταῦθα, πρίν μιν καὶ γῆρας ἔπεισιν· εἰ δὲ μετὰ τοῦ ἂν, ὑποτακτικῷ ἢ εὐκτικῷ· ὡς παρὰ Σοφοκλεῖ,

πρὶν ἄν τι δράσῃς·

ἐν τούτοις γὰρ εἰ καὶ μὴ ἕτερον πρὶν κεῖται πρότερον ἐνεργείᾳ, ἀλλὰ δυνάμει κεῖται, καὶ πρὸς τὴν ἔννοιαν ἐκείνου ταῦτα ἀφορᾷ, καὶ τὸ προτοῦ δηλοῖ, καὶ ἀεὶ δὴ δύναται τὸ πρότερον πρὶν μὴ παρεῖναι ἐνεργείᾳ, ἀλλὰ συνυπακούεσθαι· οἷον, οὐ ποιήσω τόδε *, πρὶν ἂν γένηται τόδε· ἤγουν, οὐ πρὶν ποιήσω· * καὶ οὔ φησιν ἀνήσειν πρὶν ἂν τόδε ποιήσῃ, τουτέστιν, οὐ πρὶν ἀνήσειν φησίν. — ἀντιόωσαν· ἀντὶ τοῦ τιμῶσαν, ἀπὸ τοῦ ὑπαντᾶν· συνυπακουομένης ἐν αὐτῷ καὶ τῆς δεξιώσεως, ὡς εἶναι ταύτῃ τοῦτο μὲν, τὸ δι' ὑπαντήσεως δεξιοῦσθαι ἁπλῶς· κατὰ μεταφορὰν ἀπὸ τῶν ὑπαντώντων καὶ ὑποτεινόντων

2. Cod. B. ἀλιτρός τέ ἐσσι. *Odyss.* ε, 182. 6. *Hesiod.* ἔργ. 90. 7. Cod. A. ἔχεις. 9. 10. Verba, quae stellulis distinxi, ex Cod. B. accesserunt. 14. *Soph.* Aj. v. 107. Cod. A. iterum πρίν μοι. 15. καὶ μὴ ἕτερον Codd. uterque. Negationem delevit *Scherp.* contra Cod. sui auctoritatem. 16. Articulum τὴν om. Cod. B. 17. δὴ om. Cod. A. 18. Locum in Cod. A. et apud Scherpezeelium lacunosum, nunc ex Cod. B. supplevimus. Cf. *Moschop.* π. σχεδ. p. 161. 20. Haec in Codice A. ita leguntur: ἀντιόωσαν: ἀντὶ τοῦ δεξιουμένην καὶ τιμῶσαν· ἀπὸ τοῦ ὑπατᾶν (leg. ὑπαντᾶν) καὶ δεξιοῦσθαι κατὰ μετάληψιν. ἀντιῶ ἀντὶ τοῦ συναντῶ, καὶ ἀντιῶ τὸ ὑπατῶ, (leg. ὑπαντῶ) καὶ ἀπὸ τούτου δεξιοῦμαι καὶ τιμῶ· διὸ καὶ πρὸς αἰτιατικὴν λέγεται, ὡς τὸ δεξιοῦμαι. ὡς καὶ παρὰ Πινδάρῳ etc. Partem hujus Scholii transscripsit *Favorinus* Lex. fol. 60. rect.

τὰς χεῖρας ἐπὶ δεξιώσει καὶ τιμῇ· διὸ καὶ πρὸς αἰτιατικὴν λέγεται, ὡς παρὰ Πινδάρῳ,

ἑκόντι τοίνον πρέπει
νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.

* ἀντὶ τοῦ δι' ὑπαντήσεως δεξιώσασθαι *, ἤγουν τιμῆσαι· καὶ πολλὰ ἕτερα, ὡς ἔοικεν, ἑτέρως συντασσόμενα, εἰ ἐφ' ἕτερα μεταλαμβανόμενα συμβαίνει τὴν τῶν ἐφ' ἃ μεταλαμβάνεται ἀναδέχεσθαι τὴν σύνταξιν· καὶ

πρὸς μέλος ἠντίασεν,

ἀπὸ τοῦ ἀντιάζω, ἀντὶ τοῦ ἀπήντησεν. οὐ τὸ ἀντιάω, ἤγουν τὸ ἀντιάζω τὰ διάφορα ἔχει σημαινόμενα, ἀλλὰ αἱ συνυπακουόμεναι προθέσεις κατὰ τὴν τῶν ποιητῶν συνήθειαν. ἐνίοτε μὲν γὰρ συνυπακούεται ἡ ὑπὸ, καὶ δηλοῖ τὸ ὑπαντᾶν· ἐνίοτε δὲ ἡ σὺν, καὶ δηλοῖ τὸ συναντᾶν· ἔστι δὲ ὅτε ἡ ἀπὸ, καὶ δηλοῖ τὸ ἀπαντᾶν. ταῦτα δὲ διαφέρουσιν ἀλλήλων κατὰ τὰς διαφόρους τῶν προθέσεων δυνάμεις. * ὅτε δὲ μόνον νοεῖται, τὸ εὐστοχεῖν δηλοῖ, ὡς ἐν τούτοις· τοῦδ' ἀντιάσαιμι ἔγωγε·

τοῦδ' ἐγὼ ἀντιάσαιμι, καὶ ὃς φίλος ἐστὶν ἔμοιγε·

ἤγουν τοῦδε κατ' ἀντικρὺ γενοίμην, ἀντὶ τοῦ, ἐπὶ τοῦτον εὐθυνθείην, εὐστοχήσαιμι τοῦδε *. — *σαώτερος·* ἀντὶ τοῦ σῶος. ἤτοι ἀβλαβὴς, ἀζήμιος. — *νέηαι·* νέομαι ἐνεστὼς. ὑποτακτικὸς νέωμαι. τὸ δεύτερον νέηαι ποιητικῶς, ἀπὸ τοῦ τρίτου ἐκβολῇ τοῦ ῑ · λέγεται δὲ ἐνταῦθα τὸ νέηαι ἀντὶ τοῦ ἀπέλθῃς· ἐνεστὼς ἀντὶ ἀορίστου. — *ἀκέων·* τοῦτο καὶ τὸ ἀπὸ τούτου ἐπίρρημα τὸ ἀκὴν οὐ σιωπὴν ἁπλῶς δηλοῖ, ἀλλὰ σιωπὴν μετ' ἐκπλήξεως· ἐν γὰρ τῷ,

οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,

εἰ σιωπὴν ἁπλῶς ἐσήμαινε τὸ ἀκὴν, περιττῶς ἂν ἔκειτο, καὶ ἀδολεσχίαν

3. *Pind.* Pyth. V. 43 sq. 4. Cod. uterque *εὐεργέτην*. 5. Verba, stellulis distincta, nunc ex Cod. B. accesserunt. 5. Verba *καὶ πολλὰ* usque ad *τὴν σύνταξιν* in Cod. B. desunt. 8. *πρὸς μέλος ἠντίασεν* sunt verba ex Leontii epigrammate, quod legitur in Anthol. Planud. III. 104. p. 363. 9. Cod. A. *ἀντίζω*. et om. *ἀντὶ τοῦ*. Ibid. Cod. A. *οὐ τὸ ἀντιάω δὲ ἢ τὸ ἀντιάζω* etc.
11. Cod. A. *τῶν ποιητικῶν*. 14. *ὅτε δὲ μόνον — εὐστοχήσαιμι τοῦδε*. Haec ultima Scholii verba nunc primum ex Codice meo protuli. 19. Cod. A. *νέεαι: ἔομαι ἐνεστὼς, ὑποτακτικὸν ἔωμαι*. quae imperitiam librarii satis arguunt.
22. Cod. B. om. *τὸ* ante *ἀπὸ*. 24. Iliad. *γ'*. 95.

ὁ λόγος ἐπαχθῆ εἶχε· νῦν δὲ σιωπὴν δηλοῖ μετ' ἐκπλήξεως, καὶ ἔχει ὁ λόγος οὕτως· οἱ δ' ἄρα πάντες ἐν σιωπῇ ἐγένοντο κατ' ἀφωνίαν ἐκπληκτικήν. κυρίως μὲν οὖν ἐπὶ τούτου σημαινομένου τίθησιν αὐτὰ ὁ Ὅμηρος. καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ σιωπῶντος ἁπλῶς ἔστιν ὅτε τὸ ἀκέων λαμβάνει· ὡς ἐρίζειν μὲν κυρίως τὸ φιλονεικεῖν λέγει· εἶτα καταχρηστικῶς καὶ τὸ ἐν πολέμῳ μάχεσθαι· καὶ ἐπ' ἄλλων πολλῶν ποιεῖ τὸ τοιοῦτον. — παρὰ θῖνα· ἡ παρὰ ἐνταῦθα τὸ πλησίον δηλοῖ, οὐ μετάβασιν ἀπὸ τόπου εἰς τόπον. — πολυφλοίσβοιο· φλοῖσβος ποιὰ φωνὴ ἀπὸ τοῦ ἤχου πεποιημένη· ὃν ποιεῖ τὸ κῦμα ἐπικλυζόμενον καὶ ὑποχωροῦν· ἀφ' οὗ πολύφλοισβος θάλασσα, ἡ συνεχῆ ἦχον δηλοποιοῦσα (leg. δηλονότι ποιοῦσα) τῇ παρὰ τῷ αἰγιαλῷ ἐπικλύσει. — ἀμφιβέβηκας· περιέπεις· ἀπὸ τῶν ὑπερασπιζόντων ἐν πολέμῳ τῶν τετρωμένων ἢ πεφονευμένων· τῶν μὲν, ἵνα μὴ συληθῶσι· τῶν δὲ, ἵνα μὴ φονευθῶσιν· — Σμινθεῦ· ἐν τῇ Χρύσῃ, φασὶ, τοῦ Σμινθέως Ἀπόλλωνος ἦν ἱερόν. καὶ τὸ σύμβολον τὸ τὴν ἐτυμότητα τοῦ ὀνόματος σῶζον, ὁ μῦς ὑπέκειτο τῷ ποδὶ τοῦ ξοάνου. — ἔκηα· κάω, καύσω, ἔκηα, ὡς χέω, ἔχεα, πλὴν ὅτι τὸ ἔκηα αὔξει τὴν παραλήγουσαν, ὡς τὸ ἔψηλα· ἔκηα ποιητικόν· ἔκαυσα κοινόν. — κρήηνον· κραίνω, κρανῶ, ἔκρηνα, κρῆνον, καὶ πλεονασμῷ τοῦ η, κρήηνον· λέγεται καὶ κραιαίνω κατὰ παραγωγήν·

τοῦ δ' ἐκραίαινεν ἐφετμάς.

— χωόμενος· χώομαι ἐνεστώς· ἐχωόμην παρατατικὸς, χώσομαι μέλλων· ἐχωσάμην ἀόριστος· τὰ δ' ἐνεργητικὰ, τὸ χώσω καὶ τὸ ἔχωσα, ἐπὶ τῶν χωμάτων λέγεται· ἀπὸ τοῦ χώομαι ἡ μετοχὴ ὁ χωόμενος. — ἔκλαγξαν· ποιὰ φωνὴ ἀπὸ τῆς τῶν γεράνων πεποιημένη φωνῆς. κλάζω ἐνεστώς· μέλλων κλάγξω· ἑτεροκλίτως διὰ τοῦ

---

2. Cod. A. οὗτος. 3. Cod. B. κυρίως ἐπὶ τοῦ σημ. et αὐτῷ pro αὐτὰ vitiose. 5. Cod. A. εἰ καταχρηστικῶς. 7. Cod. A. ἀρὰ prima litera a rubricatore omissa. mox deest δηλοῖ. 9. Ridiculo errore Scherpezeelius: φλοῖσβος, ποία φωνή; cf. *Favorin.* Lex. fol. 525 rect. 12. Cod. A. vitiose: ἀπὸ τῶν ὑπολέμῳ etc. 15. Cod. A. σμινθέος, et statim ἐπέκειτο. 20. Cod. A. κρεαίνω, et in loco Homerico ἐκρέαινε. 21. Iliad. ε. 508. 22. Favorin. Lex. 538 rect. χώομαι, τὸ σκύζομαι καὶ ὀργίζομαι, ἐνεστώς· etc. 25. Iterum Scherp. ποία φωνή;

γ̅· ἀόριστος ἔκλαγξα, ὁμοίως καὶ μέσος παρακείμενος κέκληγα· δεύτερος ἀόριστος ἔκλαγον; ὡς ἀπὸ τοῦ σφάζω ἐσφάγην·

ἔκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος.

— πυραὶ καίοντο· καίεται πῦρ ἀντὶ τοῦ ἀνάπτεται, ἢ ἐκπυροῦται· καὶ καίεταί τι ὑπὸ πυρὸς, ἀντὶ τοῦ ἀναλίσκεται. — ἤγερθεν· ἀγείρω ·ἀγερῶ ἤγερμαι ἠγέρθην ἀγερθεὶς ἀγερθέντος, ἤγερθεν· ὡς φααν θέντος, ἐφάανθεν. τὸ μὲν ἀντὶ τοῦ ἠγέρθησάν, ἤγουν ἠθροίσθησαν· ἀγείρω γὰρ τὸ ἀθροίζω· ἐγείρω δὲ τὸ ἀνιστῶ, ἢ παρακινῶ. τὸ δὲ ἀντὶ τοῦ ἐφάνθησαν, ἤτοι ἐφάνησαν. — ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα, ἢ καὶ ὀνειροπόλον· οὐ περιεκτικὸν ὄνομα ἐνταῦθα τοῦ ἱερέως καὶ τοῦ ὀνειροπόλου ἀξιοῖ ὁ Πορφύριος εἶναι τὸν μάντινι ἐπιχειρεῖ δὲ τοῦτο διὰ τῶν τοιούτων ἀποδεικνύναι· ὁ Ὅμηρος, φησὶν, ὁπόταν τὸ γένος προείπῃ καὶ τὸ περιεκτικὸν τινῶν, ἐπιφέρειν εἴωθεν καὶ τὰ περιεχόμενα εἴδη, οὐ μέντοι διὰ τοῦ διαζευκτικοῦ συνδέσμου, ὅς οὐκ ἔστιν συναγωγός· διὰ δὲ τοῦ τε τοῦ συμπλεκτικοῦ τε καὶ ἀναφορικοῦ, ὥσπερ ἐν τούτοις·

πολλὰ δ' ἀγάλματ' ἀνῆψε·

τίνα οὖν ταῦτα;

ὑφάσματά τε χρυσόν τε·

διὰ τῶν τοιούτων ἀποδείκνυσιν· ἴσως δὲ οὐκ ἀσφαλῶς. τότε γὰρ Ὅμηρος τὰ περιεχόμενα εἴδη ἐπιφέρει διὰ τοῦ τε συνδέσμου, ὅτε συνημμένως αὐτὰ δηλοῦν βούλεται· οὐ μὴν ὅτε διῃρημένως. ἡ διαίρεσις γὰρ τὸν διαζευκτικὸν ἀπαιτεῖ σύνδεσμον, εἴτε εἴδη εἰσὶ τὰ ἐπιφερόμενα, εἴτε ὀνόματα ἄλλον ἔχοντα τρόπον· ἐνταῦθα δὴ τὴν διαίρεσιν ἀπαιτοῦντος τοῦ λόγου, οὐδὲν κωλύει τὸ μὲν εἶναι περιεκτικὸν, τὰ δὲ καὶ

1. Cod. A. ὁ δεύτερος. 2. Cod. A. et *Favorin.* fol. 172 vers. τὸ ἐσφάγην. Scherpezeelius maluit ἔσφαγον, ut conveniret cum praecedenti ἔκλαγον. 3. Haec verba Cod. B. ita exhibet: ἔκλαγεν ἐκ βυθῶν μέγα· Πίνδαρος. pereleganti sane interpolatione. Sunt verba epigr. ἀδεσπ. Anthol. graec. IX. 571. Tom. II. p. 203. edit. Jacobs. 7. Cod. A. ὡς φανθέντος ἐφάνθεν. Nostri Cod. lectionem tuetur etiam *Favorinus* Lex. fol. 243 vers. qui hunc locum ad verbum transscripsit. 9. Cod. B. in lemmate habet: ἀλλά γε δὴ — 10. Cod. A. περιεκτικὸν ἐνταῦθα τοῦ ἱερέως om. οὐ et ὄνομα. 12. Cod. A. τοιοῦτον. 13. Cod. A. προείπει, et περιεκτικόν τινα. vitiose. 17. Cod. B. ἀγάλματα νῆψε. Odyss. γ'. 274. 20. Cod. A. διὰ τῶν τοιοῦτον ἀποδήκνυσιν.

περιεχόμενα καὶ διὰ τοῦ ἢ ἐπιφερόμενα· μάντιν γὰρ, φησὶν, ἐρείομεν, εἶτα ἐπιφέρει ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον· ἕνα τινὰ δηλονότι τούτων, οὐ μέντοι καὶ ἀμφοτέρους ἐξ ἀνάγκης· εἰ δ' εἶχεν ὁ λόγος ταύτην τὴν ἀνάγκην, τοῦτο δὲ οὐδαμόθεν ἐνταῦθα δείκνυται, διὰ τοῦ $\overline{\text{τε}}$ *ἂν ἐπέφερεν. ἢ ἄλλον τρόπον εἶχεν ἂν ἡ διάνοια τοῦ λόγου, ὡς ὁ Πορφύριος ἀξιοῖ. — οἰωνοπόλων· οἰωνοπόλος, ποιητικόν· οἰωνιστὴς, κοινόν. ἔστι δὲ οἰωνιστὴς, ὁ τοῖς ὀρνέοις προσέχων, καὶ διὰ τούτων μαντευόμενος. — ὄχ' ἄριστος· ἐξόχως ἄριστος. ὑπέρθεσις ἐπὶ ὑπερθέσει, κατὰ συνήθειαν ποιητικήν. — Ἴλιον εἴσω· ἐπεὶ ἡ εἰς τὸ εἴσω δηλοῖ, οὐκ ὀκνεῖ τὸ εἴσω ἀντὶ τῆς εἰς θεῖναι, μετὰ τῆς συντάξεως τῆς εἰς. ἐπεὶ δὲ καὶ τὸ ἕως αὕτη ἐνίοτε δηλοῖ, οἷον, ἀπὸ κεφαλῆς εἰς πόδας, τουτέστιν, ἕως ποδῶν, καὶ τὸ ἕως τίθησιν ἀντὶ τῆς εἰς, τῆς αὐτὸ τοῦτο τὸ ἕως δηλούσης, μετὰ τῆς συντάξεως αὐτῆς· ἕως ὃ ταῦθ' ὥρμαινεν, ἀντὶ τοῦ, εἰς ὃ, ἤγουν μέχρις οὗ. καὶ ἐν ἄλλοις πολλοῖς τὸ τοιοῦτον ποιεῖ. — ὦ Ἀχιλλεῦ κέλεαί με· κατ' ἐρώτησιν ὁ λόγος· οὐ γὰρ πρὸς τὸν Κάλχαντα ἐποιήσατο τοὺς λόγους ὁ Ἀχιλλεὺς ἵνα ἀποφαντικῶς οὗτος ἀπαντήσῃ. — ὄμοσσον· ὀμνύω ἐνεστὼς καὶ ὄμνυμι· ὤμνυον παρατατικὸς, ὀμοῦμαι μέλλων. ὀμώμοκα, παρακείμενος· ὤμοσα, ἀόριστος· ἀφ' οὗ προστακτικὸν ὄμοσσον, πλεονασμῷ τοῦ* $\overline{\text{σ}}$ *Αἰολικῶς. — σύνθεο· συντίθεμαι ἐνεστὼς, συνετιθέμην, παρατατικός· συνθήσομαι, μέλλων· συνεθέμην, ἀόριστος· ἀφ' οὗ σύνθου προστακτικὸν, καὶ κατὰ διάλυσιν τῆς* $\overline{\text{ου}}$ *διφθόγγου εἰς* $\overline{\text{ε}}$ *καὶ* $\overline{\text{ο}}$*, σύνθεο· διαλύεται δὲ εἰς ταῦτα ἡ* $\overline{\text{ου}}$ *δίφθογγος οἰκείως, ἐπεὶ καὶ ταῦτα κιρνάμενα ταυτὴν ποιεῖ. — ὀΐομαι· οἴω καὶ ὀΐω διὰ μακροῦ τοῦ* $\overline{\text{ι}}$*· καὶ οἴομαι ποιητικῶς· σημαίνει δὲ τὸ αὐτό. οἶμαι*

---

1. Cod. A. *περιεχόμενα διὰ* $\overline{\text{η}}$ *ἐπιφερόμενα.* Ibid. Cod. B. *φασὶν* et *ἐπιφέρειν.* 2. Cod. A. *δηλοῖ* pro *δηλόνοτι*, nisi fortasse primus editor in solvendo notissimo scribendi compendio erraverit. 3. Cod. A. *ἀμφότερον.* 9. Cod. A. *ἐπεὶ ἡ εἰς εἰς τὸ.* *Favorin.* Lex. fol. 169. vers. 10. Cod. B. *ἀντὶ τοῦ εἰς.* 11. Cod. B. et Favorin. *αὕτη.* Cod. A. *αὐτὸ.* 12. Cod. A. *ἐς πόδας* et infra *ἐς ὅ.* 14. Cod. A. *μέχρι ἕο, οὗ.* 17. Cod. A. *ἵνα ἀποφατικῶς οὕτως ἀπατήσῃ.* 18. Cod. B. *ὠμόμοκα.* *Favorin.* fol. 389. rect. 24. Cod. A. *οἴω καὶ ὅω.* 25. *Favorin.* Lex. fol. 385. vers. *καὶ ὀΐομαι καὶ οἴομαι, ποιητικὰ·* quod praetulerim.

Ἀττικόν· τὸ δεύτερον δὲ καὶ τρίτον αὐτοῦ οἴει καὶ οἴεται· ἀπὸ τοῦ οἴομαι παρατατικὸς κοινὸς μὲν ᾤμην, ποιητικῶς δὲ ᾠἴμην· μέλλων, οἰήσομαι· ἀόριστος, ᾠήθην. — χέρηϊ· χείρων κοινῶς· χερείων ποιητικῶς·.* τούτου ἡ δοτικὴ* χερείονι, ἀφ' οὗ τὸ χέρηϊ κατὰ συγκοπὴν, καὶ τροπῇ τοῦ ε εἰς η. — καταπέψῃ· πέττω Ἀττικὸς ἐνεστὼς, πέσσω δὲ κοινός· ἔπεττον παρατατικὸς καὶ ἔπεσσον· πέψω μέλλων ἑτεροκλίτως, ἀπὸ τοῦ πέπτω ἀχρήστου, ἀφ' οὗ τὸ ἀπεπτῶ· ἀπὸ τοῦ πέψω, εὐκτικὸν πέψοιμι, τὸ τρίτον πέψοι καὶ καταπέψοι· ἀόριστος τούτου ἔπεψα. — μετόπισθεν· περισσὴ ἡ μετά. — ἀπαμειβόμενος· ἀμείβω, τὸ ἀλλάσσω. ἀμείβομαι δὲ τὸ κατ' ἀντίχαριν δεξιοῦμαι, ὃ λέγεται ἀπ' αἰτιατικῆς εἰς δοτικήν· οἷον, ἀμείβομαί σε τοῖσδε. καὶ ἀπὸ τούτου ἀμείβομαι καὶ τὸ ἀποκρίνομαι· συνυπακούεται γὰρ τὸ λόγοις, καὶ ἔστιν ἀντὶ τοῦ λόγοις ἀμείβομαι. καθὸ λέγεται ἐνταῦθα περιττευούσης τῆς ἀπὸ προθέσεως. — θαρσήσας· θαῤῥῶ ἀντὶ τοῦ θάῤῥος ἔχω· καθὸ λέγεται, θαῤῥῶ ποιῶν τόδε, καὶ ἀντιστρόφως, θαῤῥῶν ποιῶ τόδε. ὃ καὶ ἀντὶ τοῦ θαῤῥαλέως ποιῶ τόδε δύναται λέγεσθαι, ἵν' ἐπὶ τὴν πρᾶξιν ἀποτείνῃ τὸ θαῤῥαλέον. καὶ θαῤῥῶ ἐπὶ τοῖσδε. καὶ ἔτι μετὰ ἀπαρεμφάτου, οὐκ ἂν ἐθάῤῥησα τόδε πρᾶξαι· λέγεται τὸ θαῤῥῶ καὶ ἀντὶ τοῦ τολμῶ εἰσελθεῖν εἴς τι. οἷον, θαῤῥῶ τὴν μάχην· τουτέστι, τολμῶν εἰσέρχομαι εἰς τὴν μάχην· καὶ παρὰ Φιλοστράτῳ· θαρσεῖ δὲ οὐδὲ ποιμὴν ἐκεῖνο τὸ χωρίον·

---

2. Cod. B. *παρατατικὸς εὐκτικὸς*, quod mutandum videbatur in *κοινός*. deest in Cod. A. et apud Favorin. Ibid. Cod. B. vitiose *ᾠιόμην*. 4. Verba *τούτου ἡ δοτικὴ* om. Cod. A. Ibid. Cod. A. *ἀφ' οὗ τὸ χέρειϊ, κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ε εἰς η, χέρηϊ*. Ultimum verbum, quod in Cod. deest, addidit editor. *Favorin.* fol. 533. rect. Cod. B. *τρόπῳ*. 5. Cod. A. in lemmate *καταπέψοι*, et idem Favorin. fol. 291. rect. 6. Cod. A. *πέσω δὲ κοινῶς*. Scherpezeelio legendum videbatur: *πέττω ἐνεστὼς Ἀττικὸς, πέσσω Αἰολικὸς, πέπτω δὲ κοινῶς*. 7. Codd. AB. *ἀπὸ τοῦ πέττω*. Recte *Favorin.* l. l. *ἀπὸ τοῦ πέπτω*. Sed quod statim in utroque Codice sequitur, *ἀπεπτῶ*, non debuit primus editor mutare in *καταπέπτω*. 10. Cod. A. *κατὰ χάριν*. Vox *ἀντίχαρις* lexicis addenda. 12. Cod. B. *ἀπὸ τοῦ ἀμείβομαι*. 13. Cod. A. *τοῖς λόγοις*. 14. Cod. B. *περιττούσης*. vitiose. 15. Cod. A. *καὶ λέγεται*. male. 20. Cod. A. *τολμῶ εἰσέρχομαι*, quod Scherp. mutavit in *εἰσέρχεσθαι*. Vid. Jacobs. ad *Philostrat.* Imagin. p. 479. 21. Cod. A. *ἐκείνῳ*. Totum Mo-

ἤγουν οὐδὲ ποιμὴν τολμᾷ εἰσελθεῖν εἰς ἐκεῖνο τὸ χωρίον. — δερκομένοιο· καὶ ἐνεργητικῶς λέγεται τὸ δέρκομαι καὶ παθητικῶς, ὡς τὸ βιάζομαι τὸ λοιδοροῦμαι, το τιμωροῦμαι καὶ τὸ δεδίσσομαι·

δαιμόνι', οὔ σε ἔοικε κακὸν ὡς δειδίσσεσθαι,

καὶ πολλὰ ἕτερα. — ἀπεδέξατο· περισσὴ ἐνταῦθα ἡ ἀπό. — πεπίθοιμεν· πείθομαι κοινῶς διὰ διφθόγγου· ποιητικῶς δὲ διὰ τοῦ ι. ἀπὸ τούτου δὴ τοῦ διὰ τοῦ ι, μέσος παρακείμενος πέπιθα, ἀφ' οὗ εὐκτικὸν πεπίθοιμι· τῶν πληθυντικῶν τὸ πρῶτον, πεπίθοιμεν· — πίμπλαντο· πιμπλῶ μετὰ τοῦ μ, καὶ ἐμπιπλῶ χωρὶς τοῦ μ. διὰ τὸ κακόφωνον· ἐμπιπλῶ ἐνεστὼς, ἐνεπίμπλων παρατατικὸς μετὰ τοῦ μ, ἐπεὶ τὸ ὄπισθεν μ ἐξέλιπε. εἰ γὰρ ἐκείνου κειμένου καὶ ἕτερον ἐφεξῆς ἔκειτο, κακόφωνος ἡ λέξις ἐγένετο· ἀποκεχωρηκότος δηλονότι, οὐκέτι τὸ κακόφωνον μένει τοῦ ἑτέρου μ παρόντος· ἐμπλήσω μέλλων ἑτεροκλίτως· ἐνέπλησα ἀόριστος. παθητικὸς πίμπλαμαι ἐνεστὼς καὶ ἐμπίπλαμαι, ἀπὸ τοῦ πίμπλημι ἀχρήστου. ἀφ' οὗ τὸ πίμπλαντο, ἐπὶ τοῦ παρατατικοῦ ἐν τῷ τρίτῳ τῶν πληθυντικῶν ἀναυξήτως κατὰ τὴν τῶν Ἰώνων συνήθειαν. * ἐμπλησθήσομαι μέλλων, ἢ ἐμπεπλήσομαι· ἐνεπλήσθην ἀόριστος· ἐμπέπλησμαι παρακείμενος *. καὶ τὸ ἐμπιπρῶ ὁμοίως κατὰ παντὸς οὕτως ἔχει· ἐμπιπρῶ ἐνεστὼς *, ἐνεπίμπρων παρατατικὸς, ἐμπρήσω μέλλων· ἐνέπρησα ἀόριστος· παθητι-

schopuli locum exscripsit Favorinus fol. 256 vers. plura addens in fine, quae ejusdem Moschopuli esse arbitror. 3. τὸ λοιδοροῦμαι deest in Cod. B. Recepi ex Cod. A. et Favorino fol. 135 rect. 4. Iliad. β'. 190. Cod. A. δειδίσσεται. Cod. B. διδείσεσθαι. 6. Cod. A. male πεποίθοιμεν, et mox πεποίθοιμι et πεποίθοιμεν. Praeterea, om. πείθομαι, ita incipit Scholion in Cod. A.: οἱ κοινῶς μὲν διὰ διφθ. etc. 7. Cod. A. ἀπὸ τούτου δὴ τοῦ ι. 10. Verba διὰ τὸ κακόφωνον usque ad μετὰ τοῦ μ in Codice B. desiderantur. Habent ea Cod. A. et *Favorinus* fol. 430. rect. 11. Male edidit Scherpezeelius: εἰ καὶ ἕτερον, et ἀποκεχωρηκότως. 13. Cod. A. ἐμπλίσσω et ἐνέπλισσα.

14. Cod. A. παθητικῶς. 15. Cod. B. et Favorin. l. l. πίμπλατο.

17. Haec verba, quae hic et infra stellulis indicavi, nunc primum ex Codice B. addidi. 19. Male Scherpezeelius: καὶ τὸ ἐμπιπλῶ ὁμοίως etc. Ibid. Cod. A. κατὰ πάντα τὸς (sic) τῷ ἔχει. Quae male refinxit primus editor in κατὰ πάντα τοῦτο ἔχει. In Cod. B. haec verba desiderantur. *Favorinus* l. l. κατὰ πάντα τούτῳ ἔχει. De emendatione dubium esse non potuit.

κὸς ἐμπίπραμαι ἐνεστὼς * ἐνεπιμπράμην παρατατικός· ἐμπρησθήσομαι μέλλων, ἢ ἐμπεπρήσομαι· ἐνεπρήσθην ἀόριστος· ἐμπέπρησμαι παρακείμενος. — ὄσσε· Πορφυρίου· ἡ εὐθεῖα τὸ ὄσσος, ὡς ἕρκος, βέλος, τεῖχος· ὧν πληθυντικὰ κατὰ τοὺς Ἀθηναίους μὲν, ἕρκη, βέλη, τείχη· κατὰ δὲ τοὺς Ἴωνας, ἕρκεα, βέλεα, τείχεα. καὶ δῆλον ὅτι καὶ ὄσσεα. τῶν δὲ εἰς α πληθυντικῶν τὰ δυϊκὰ οὐδετέρως εἰς ε τελευτᾷ· οἷον, ὄμματα ὄμματε, γράμματα γράμματε· σαφὲς οὖν ὅτι καὶ ὄσσεε, εἶτα κατὰ ἀφαίρεσιν ὄσσε ἐγένετο. — λαμπετόωντι· λάμπω, καὶ κατὰ παραγωγὴν λαμπετάω, λαμπετῶ· ἀφ' οὗ μετοχὴ ὁ λαμπετῶν· δοτικὴ λαμπετῶντι, καὶ πλεονασμῷ τοῦ ο, λαμπετόωντι. — εἴκτην· εἴκω, εἶκον, εἰκέτην, καὶ κατὰ συγκοπὴν καὶ διάλυσιν εἴκτην. — τὸ κρήγυον· κρήγυον, τὸ τῷ κέαρι ἡδὺ καὶ προσηνὲς, ἤτοι θυμῆρες. — προβέβουλα· βούλομαι ἐνεστώς· ἐβουλόμην παρατατικός· βουλήσομαι μέλλων ἑτεροκλίτως· ἐβουλήθην ἀόριστος· βέβουλα μέσος παρακείμενος, ὡς λέλακα· ζῶσαν λέλακας· καὶ μετὰ τῆς προ, προβέβουλα. — ἴδμεν· ἴσημι ποιητικῶς· ἴσης ἴσησιν· οὗ τὰ πληθυντικὰ ἴσμεν κατὰ συγκοπὴν, ἴστε, ἴσασιν· ἃ καὶ παρὰ τοῖς κοινοῖς ἐστιν ἐν χρήσει· ἀπὸ τοῦ ἴσμεν τὸ ἴδμεν τροπῇ τοῦ σ εἰς δ. — ξυνήια· ἀπὸ τῆς σὺν προθέσεως, ἣ συναγωγός ἐστι δύο τοὐλάχιστον, ὄνομα ποιεῖται τὸ ξυνὸν, ταυτὸ δυνάμενον τῷ κοινόν· εἶτ' ἐπεὶ τοῦτο κτητικοῦ * δύναμιν ἔχει, καὶ εἰς κτητικοῦ * τύπον ἤδη αὐτὸ σχηματίζει, καὶ ξυνήϊον αὐτὸ ποιεῖ, κατὰ

---

1. Cod. B. ἐνεπιπράμην. Cod. A. male ἐμπρήσομαι et ἐμπέπρισμαι παρατατικῶς. 3. Porphyrii nomen Cod. A. in textu, Cod. B. autem in margine notatum exhibet. Eadem nota marginalis infra recurrit in Scholio ad v. 486. 5. Cod. A. om. ἕρκεα. 6. Cod. B. τὰ δυϊκὰ καὶ οὐδέτερα. Verba ὄμματα et γράμματα desunt. 9. Cod. A. repetit verba ἀφ' οὗ μετοχή. 12. Cod. A. κέρατι, quod Scherpezeelius mutavit in κρέατι. Veram lectionem Codex meus praebuit, et *Favorin.* Eclog. p. 277, 32. Dind. cf. *Hellad.* apud Phot. p. 532 a. 25. Bekk. 13. προβέβουλα: ad verbum transscripsit *Favorin.* Lex. fol. 445., quae autem post vocem παρακείμενος ibi sequuntur, desumpta sunt ex *Eustathio* ad Iliad. p. 61, 21. edit. Rom. 15. *Eurip.* Hecub. v. 666. Herm. 16. ἴδμεν. *Favorin.* Lex. fol. 268. vers. 19. Cod. A. ἀπὸ τοῦ ξὺν. Favorin. Lex. fol. 380. rect. 21. Cod. A. ἐν τῷ κοινόν. Verba stellulis notata e Codice meo protuli. 22. Cod. B. τόκον.

τὴν ἀκολουθίαν τοῦ πρεσβήϊον. — δέδασται· δάζω ἐνεστὼς ἄχρηστος· ἀντὶ τούτου δὲ λέγεται τὸ δαιτρεύω·

τὰ δ' ἄλλ' ἐς δῆμον ἔδωκε
δαιτρεύειν·

καὶ τὸ δατέομαι, ὃ διὰ τὸ ἐφεξῆς ἔχειν τρία βραχέα, δατεῦμαι λέγεται, ἀφ' οὗ τὸ δατεώμεθα·

ὅτε κεν δατεώμεθα ληΐδ' Ἀχαιοί.

δάσομαι μέλλων· ἐδασάμην ἀόριστος· δέδασμαι παθητικὸς παρακείμενος· τὸ τρίτον, δέδασται. — αἴ κέ ποθι· ποῦ καὶ ποῖ κοινῶς· τὸ μὲν ἐπὶ στάσεως, τὸ δὲ ἐπὶ κινήσεως. πόθι καὶ πόσε ποιητικῶς. λέγεται δὲ τὸ ποῦ ἐνίοτε μὲν ἐπὶ τόπου, ἐνίοτε δὲ ἀντὶ τοῦ ἴσως· ἔστι δ' ὅτε καὶ περισσῶς κεῖται. ὅτε δὲ ἐπὶ τόπου λέγεται, ἐνίοτε μὲν κατ' ἐρώτησιν προφέρεται, ἐνίοτε δὲ χωρὶς ἐρωτήσεως. ἐπὶ μὲν οὖν τῶν ἄλλων πάντων ἐγκλίνεται· ὅτε δὲ κατ' ἐρώτησιν λέγεται, οὐ δύναται ἐγκλίνεσθαι· — ἀγαθός περ ἐών· τοὺς τρόπους δηλονότι, ᾧ ἐναντίος ὁ κακότροπος. — * ἔμ' αὔτως· αὔτως ποιητικὸν ἀπὸ τοῦ αὔτη· οὕτως κοινόν· — ἧσθαι· ἀντὶ τοῦ καθῆσθαι· ἀπὸ τοῦ ἕω ἀχρήστου ἧμαι καὶ τοῦτο ἄχρηστον· οὗ τὸ παθητικὸν * ἕεμαι ἧμαι ἐν χρήσει παρὰ τοῖς ποιηταῖς· παρὰ δὲ

2. Deest vox ἄχρηστος in Cod. A. 4. Cod. A. δετρεύω. Scherpezeelius ad hunc locum plura ejusdem generis vitia e Cod. suo protulit, ea Graecorum pronuntiationi, non librariorum negligentiae imputanda esse falso ratiocinatus; deinde autem ita pergit: „corruptus hac in re saepius est Hesychius. v. ἐκράενεν, ἐπλήρου etc. omnino leg. ἐκραίαινεν. ita h. l. in suis ad me literis emendat eruditissimus Jensius. Respicit enim Hom. Iliad. ε. 508. Addo eundem Hesychium v. ἐρέθεντι, ληφθέντι. corrige αἱρεθέντι. Idem, Ἰσοδέτης ὑπ' ἐνίων ὁ Πλούτων etc. leg. Ἰσοδαίτης, Meurs. Lect. Att. Alibi ἐζηῶν, νέων etc. leg. αἰζηῶν Salmas. Idem Περγέα θεὸς, ἡ Ἄρτεμις. leg. Περγαία θεὸς etc. Ita Latini ex Graecorum Κλυταιμνήστρη formarunt Clytemnestra; vide et Cl. Sylburg. ad Pausan. Corinth. cap. XII. et XXIX. ad Arcad. c. III."

4. Hom. Iliad. λ'. 704. Codd. AB. εἰς. Favorin. fol. 131. rect. ἐς.

7. Iliad. ι. 138. Cod. A. ἀφ' οὗ τὸ δατεώμεθα λ. Ἀχ. 8. Cod. A. παθητικῶς. 9. Cod. A. ποῦ καὶ πῆ Favorin. fol. 435. vers. recte ποῖ.

16. Cod. A. δηλοῖ et ἐναντίον. Deinde omnia desunt, usque ad ἕεμαι, quae nunc primum e Codice meo protuli. 19. Scherpezeelius: ἕεμαι· ἡ μετοχὴ ἐν χρήσει etc. Veram lectionem praebuit Cod. B.

τοῖς κοινοῖς κάθημαι λέγεται, μετὰ τῆς κατά· οὐδὲν δὲ πλέον * ἐν τούτῳ ἡ πρόθεσις δηλοῖ, ἀλλ' ὡς συλλαβὴ κεῖται, ὡς ἐν τῷ καθεύδειν καὶ καμμύειν· διὸ καὶ κατὰ τὰς προθέσεις * ἐν τούτοις ἡ αὔξησις γίνεται· οἷον, ἐκάθευδον, ἐκάμμυον, ἐκαθήμην. ἰστέον δὲ, ὅτι τὸ μὲν κάθηται προπαροξύνεται *, τὸ δὲ καθῆσθαι προπερισπᾶται, κατὰ τὴν ἀκολουθίαν τοῦ ὑπόκειται· καὶ τούτου γὰρ τὸ μὲν οριστικὸν προπαροξύνεται *, τὸ δὲ ἀπαρέμφατον προπερισπᾶται. — κέλεαι· ἀντὶ τοῦ λέγεις ἐνταῦθα. κέλομαι ποιητικὸν καὶ κελεύω κοινόν. — δώωσιν· δῶ, καὶ πλεονασμῷ τοῦ ω δώω· ἀφ' οὗ τὸ δώῃ· ὑποτακτικὸν δὲ τὸ δώῃ, οὐκ εὐκτικόν· οὐ γάρ ἐστι πρῶτον δῴην, ἀλλ' ἀεὶ δώω· τὸ τρίτον τῶν πληθυντικῶν ἐστὶν δώωσιν. — θείομεν· ἀπὸ τοῦ θῶ ἀχρήστου κοινῶς μὲν τίθημι, ποιητικῶς δὲ θείω, κατὰ πλεονασμὸν τοῦ ει διφθόγγου. ἀφ' οὗ τὸ τέθεικα· ὡς ἀπὸ τοῦ στῶ ἵσταμαι κοινὸν, στείω δὲ ποιητικόν.

στείομεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες. καὶ στεύομαι, ὡς δεύομαι τὸ δέομαι, ἀντὶ τοῦ ὑφίσταμαι ἤγουν ὑπόσχομαι· ὡς ἀντιῶ ἀντὶ τοῦ ὑπαντῶ. ἀφ' οὗ τὸ στεῦμαι κατὰ συγκοπὴν, καὶ τὸ στεῦτο ἐπὶ παρατατικοῦ, εἰ καὶ ἐπὶ σημασίας ἀορίστου λαμβάνεται· ἀπὸ δὲ τοῦ βῶ, βαίνω κοινὸν, βείω δὲ ποιητικὸν, ὃ ἀντὶ τοῦ περίειμι καὶ ζῶ λαμβάνουσιν. ἔστι δὲ ἐνταῦθα τὸ θείομεν, τὸ ἐρύσσομεν, τὸ ἀγείρομεν καὶ τὸ βήσομεν ἀντὶ ὑποτακτι-

---

1. Post *οὐδὲν δὲ πλέον* desunt in Cod. A. et apud Scherpezeelium sine lacunae indicio ea, quae nunc ex Cod. B. inseruimus. 4. Cod. A. *ἐκάμνυον*.

5. Cod. B. *παροξύνεται*. Desunt in Cod. A. et apud Scherpezeelium quae, stellulis signata, e Cod. B. addidimus. Totum Scholium integrum legitur etiam apud Favorinum fol. 253. vers. Ibid. Cod. A. *περισπᾶται*. 8. Cod. A. *κελεύομαι ποιητικὸν*. vitiose. et *λέγειν* pro *λέγεις*. 10. Cod. A. om. *τὸ*. Cod. B. *ὑποτακτ. γὰρ*. Ibid. Cod. A. *οὐδὲ γὰρ*. et statim vitiose: *ἀλλὰ εἰ δώω*.

11. Cod. A. *τῶν πλ. ἐὰν δώωσι*. 15. Iliad. *ό*. 297. Cod. B. *ἐῤῥύξομεν*.

16. Cod. A. vitiose: *καὶ σείομεν. ὡς δέομαι τὸ δέομαι* etc. Quae etiam sine Cod. ope corrigi poterant ex Favorino fol. 257 vers. 17. Cod. A. *ὑπώχομαι*, quod Scherp. mutavit in *ὑπέχομαι*. Cod. B. *ἢ ὑπόσχομαι*. *Favorin*. l. l. *ἤγουν ὑπόσχομαι*. Ibid. Hunc locum in Cod. A. lacunosum, Scherpezeelius ita edidit: *ἀφ' οὗ τὸ . . . . . . μαι. κατὰ συγκοπὴν, καὶ τὸ . . . . . . ἐπὶ παρατατικοῦ*. 21. Cod. A. *ἐρύομεν*. Ibid. Cod. B. *βοήσομεν*.

κοῦ, ὡς τὸ εἴδομέν ἐν τῷ,

ἵνα εἴδομεν ἄμφω.

— ἐκπαγλότατε· ἀπὸ τοῦ ἐξεπλάγην κατὰ μετάθεσιν τοῦ λ, ἔκπαγλος, ὁ ἐκπληκτικὸς καὶ θαύματος ἄξιος· ἀφ' οὗ καθ' ὑπέρθεσιν ὁ ἐκπαγλότατος. — ὑπόδρα· ἀπὸ τοῦ ὑποδέρκεσθαι τὸ κοινῶς ὑποβλέπειν· ἔστι δὲ ταὐτὸν τὸ ὑπόδρα ὁρᾶν τῷ ταυρηδὸν ὁρᾶν — ἐπιειμένε· ἀμφιέννυμι ἐνεστὼς κοινὸς ἀπὸ τοῦ ἕω, ὡς ἀπὸ τοῦ ἄγω τὸ κλῶ, τὸ ἄγνυμι, καὶ τοῦ ὄρω τὸ ὄρνυμι. μέλλων ποιητικὸς μὲν ἕσομαι ἀπὸ τοῦ ἕω ἀχρήστου, κοινὸς δὲ ἀμφιέσομαι μετὰ τῆς προθέσεως ἀεί· ἀόριστος ποιητικὸς μὲν ἐσάμην, κοινὸς δὲ ἠμφιεσάμην, καὶ ἀμφιάσομαι καὶ ἠμφιασάμην ἐπὶ τῶν αὐτῶν παρὰ τοῖς κοινοῖς, ὡς ἀπὸ τοῦ ἀμφιάζω. καθὸ καὶ ἄμφια τὰ περιβλήματα λέγεται· παρακείμενος ποιητικὸς μὲν εἷμαι, ἀφ' οὗ εἱμένος καὶ ἐπιειμένος, ἀπὸ τοῦ ἕω ἀχρήστου. ἀπὸ τούτου γὰρ ἕημι ἄχρηστον, κατ' ἀκολουθίαν μέντοι τοῦ τίθημι· ἢ εἷω, ὡς θείω. καὶ ἀπὸ τούτου εἷμαι, ὡς τέθειμαι· κοινῶς δὲ ἠμφίεσμαι· ἀπὸ τοῦ εἷμαι, εἷμα τὸ ἔνδυμα ποιητικῶς, λευχείμων δὲ κοινόν· ὡς μῆλον μὲν τὸ πρόβατον ποιητικὸν, μηλωτὴ δὲ τὸ τούτου δέρμα κοινόν· καὶ κάρα ποιητικὸν, κρήδεμνον δὲ κοινόν· πολλὰ καὶ ἕτερα ποιητικὰ ὄντα, εἶτα παραγό-

1. Cod. B. εἰδῶμεν. 3. Cod. A. ἀντὶ τοῦ ἐξεπλ. Legitur hoc Scholion in Favorini Eclog. p. 180, 3. Dind. 5. Cod. B. ἀντὶ τοῦ ὑποδέρκ. 7. Cod. B. κοινῶς. 8. Cod. A. τὸ κλῶ τὸ ἄγνυμαι, καὶ τοῦ ὄρω τὸ ὄρνυμαι. quae eadem praebet *Favorin.* Lex. fol. 45 rect. Ibid. Cod. A. ποιητικῶς et κοινῶς, et item infra. 10. Cod. B. ἠμφισάμην. 13. Scherpezeelius ex Cod. A. dedit: παρὰ ποιητικῶς μὲν εἷμαι, sed in annotatione vitium ipse sustulit. *Favorin.* Lex. fol. 45. rect. habet περιβάλματα. 14. Cod. A. εἴημι et μὲν τοῦ. Cod. B. et Favorin. l. l. ἕημι et μέντοι. 16. Verba, ὡς τέθειμαι, quae in utroque Cod. leguntur, male omisit primus editor, neque haesit in scriptura Cod. A. aperte vitiosa: ἀπὸ τοῦ ἧμα τὸ ἔνδυμα ποιητικῶς. 17. Cod. B. μεῖλον. Cod. A. et Favorin. μῆλον. *Moschop.* π. σχεδ. p. 131. μῆλον, εἶδος ὀπώρας, καὶ τὸ πρόβατον, ποιητικῶς. ἀφ' οὗ μηλωτὴ ἡ ἀπὸ τούτου γουνα, ὅπερ ἐν χρήσει καὶ παρὰ τοῖς κοινοῖς. et pag. 17. εἷμα, τὸ ἱμάτιον, ἀφ' οὗ λευχείμων καὶ δυσείμων. ex quibus apparet, grammaticum non de dialectica quadam vocalium mutatione cogitasse, et vitiosas esse scripturas μεῖλον in Cod. B. et λευχήμων apud Favorinum. 19. Male edidit Scherpezeelius: ποιητικὰ ὄντα εἰ παραγόμενα ἢ συντιθέμενα γίνεται. om. κοινά.

μενα ἢ συντιθέμενα, κοινὰ γίνεται. — * ἤ ὁδὸν ἐλθέμεναι· ἤγουν εἰς λόχον· καὶ παρὰ τοῖς ῥήτορσίν ἐστι τοῦτο ἐν χρήσει· Δημοσθένης· ἢ ἐν ὁδῷ καθελὼν, ἤγουν ἐνέδρᾳ· εἰ δὲ ψιλωθείη, φασὶν, ἡ προτέρα, τὸν βαθμὸν σημαίνει *. — ἐπεὶ ἦ· οὐχ ἕν ἐστι μέρος λόγου, ὡς τὸ τίη καὶ ὀτιή· πῶς γὰρ ἂν οὕτω συμφωνήσειε τῷ μέτρῳ; ἀλλὰ δύο· ἐπεὶ σύνδεσμος, ἡ ἐπίῤῥημα, ταὐτὸ τῷ ὄντως. — ἑσπόμεθα· ἕπομαι ἐνεστώς· εἱπόμην παρατατικός· ἕψομαι μέλλων· ἑσπόμην δεύτερος ἀόριστος κατὰ τὴν ἀκολουθίαν τοῦ ἔσχον· τὸ πρῶτον τῶν πληθυντικῶν, ἑσπόμεθα. — ἀρνύμενοι· ἀπὸ τοῦ αἴρομαι ἄρνυμαι τὸ λαμβάνω, ἀφ' οὗ μετοχὴ ὁ ἀρνύμενος· ἡ εὐθεῖα τῶν πληθυντικῶν, οἱ ἀρνύμενοι. — ὀππότ' Ἀχαιοί· τὸ ὁπότε παρὰ Ὁμήρῳ ἀεὶ ὑποτάσσει. — κεκάμω· κάμνω ἐνεστώς· ἔκαμνον παρατατικός· καμοῦμαι μέλλων· κέκμηκα παρακείμενος· ἔκαμον δεύτερος ἀόριστος· ἀφ' οὗ ὑποτακτικὸν κάμω, καὶ κατὰ ἀναδιπλασιασμὸν κεκάμω, ὡς λελάχω. — πολεμίζων· πολεμῶ κοινὸν, πολεμίζω ποιητικόν· ἀπὸ τούτου δὲ πολεμιστήριος ἵππος ἐν χρήσει παρὰ τοῖς κοινοῖς. — Φθίηνδε· εἰς τὴν Φθίαν. Φθία τὰ νῦν Φάρσαλα· οἱ ἀπὸ ταύτης Φθιῶται· Φθῖοι δὲ ἐλέγοντο οἱ περὶ Μεθώνην, οἳ ὑπὸ τῷ Φιλοκτήτῃ ἦσαν. — ἄφενος καὶ πλοῦτον· ἄφενος ἡ περιουσία, ἣν ἡ περίοδος τοῦ χρόνου δίδωσι· πλοῦτος δὲ λέγεται ἐπὶ πάντων ἁπλῶς, ὧν ἔχει τις δαψιλῆ τὴν κτῆσιν. — διοτρε-

---

1. Totum hoc Scholion deest in Cod. A. Eadem fere leguntur in Moschopuli *σχεδογραφίᾳ* p. 123. Locus Demosthenis est in orat. *κατ' Ἀριστοκράτους*. 4. Cod. B. in lemmate: *ἐπεὶ ἤ*. Vid. Schol. Venet. ad h. l. et Etym. M. p. 356, 18. quod exscripsit *Favorin*. Lex. fol. 200. rect. Quam lectionem, grammaticorum testimoniis confirmatam optime postliminio donavit nuperrimus Iliados editor, vir rerum grammaticarum scientissimus, Franciscus Spitznerus. 5. Scherpezeelius ex Cod. A. edidit: *ὡς τὸ πῇ καὶ ὅπῃ*. ridiculo sane errore. 6. Cod. A. *ταυτὸ τὸ ὄντος*. 7. *ἑσπόμεθα*. Favorin. Lex. fol. 213. vers. 9. Cod. A. *ἀπὸ τοῦ αἴρω*. Idem *Favorin*. fol. 81. vers. 12. *κεκάμω*. *Favorin*. Lex. fol. 296 vers.

16. Cod. A. *πολεμιστηρίοις ἵπποις*. *Favorin*. fol. 437. rect. *πόλεμος, ἡ μάχη· ἀφ' οὗ πολεμέω πολεμῶ τὸ μάχομαι, ὃ οἱ ποιηταὶ πολεμίζω λέγουσιν· ἀφ' οὗ πολεμιστὴς καὶ πολεμιστήριος ἵππος παρὰ τοῖς κοινοῖς*. 17. *Φθίηνδε*. Favorin. fol. 513. rect. s. v. *Φθία*. 20. Cod. A. *ὑπεριουσία*. Ibid. Cod. A. *λέγεται ἐπὶ πάντα ἁπλῶς ἔχει* etc. om. *ὧν*. Scherpezeelius male supplevit *εἰ*.

φέων· διοτρεφεῖς λέγει τοὺς βασιλεῖς, ὡς μαθητὰς τοῦ Διός, καὶ ὑπ' αὐτοῦ πεπαιδευμένους τὴν βασιλικὴν παιδείαν. τὸ τρέφειν γὰρ ἐνταῦθα ταὐτὸν δύναται τῷ παιδεύειν, οὐκ ἔξω λόγου· τροφὴ γὰρ ἡ παιδεία τῇ ψυχῇ, ὡς τὰ βρώματα τῷ σώματι. — ἔρις τε φίλη· ἔρις κυρίως ἡ διὰ λόγων μάχη· πόλεμος δὲ, ἡ δι' ὅπλων· μάχη δ' ἐπ' ἀμφοτέρων. — καὶ σοῖς ἑτάροισιν· ἑταῖροι, οἱ προσοικειωθέντες κατὰ φιλίαν· φίλοι, οἱ οἰκεῖοι καὶ κατὰ γένος προσήκοντες· ἔται, οἱ συνέστιοι φίλοι· γείτονες, οἱ πλησίον μένοντες. — κλισίην τε· κλισία, ἡ στρατιωτικὴ σκηνὴ, ἐπὶ στρατοπέδου κατεσκευασμένη αὐτοσχέδιος, οὐδὲ πολιτική. καὶ ἡ καθέδρα· ὡς ἐν τῷ,

κλισίην εὔτυκτον ἔθηκε.

τὸ μὲν, ἀπὸ τοῦ κεκλίσθαι, τὸ περιέχεσθαι· πολλάκις γὰρ Ὅμηρος τὸ κεκλίσθαι ἐπὶ τούτου τίθησι τοῦ σημαινομένου· ὡς ἐν τῷ,

κεκλίαται χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες.

ἤγουν συγκεκλεισμένοι εἰσὶ καὶ στενοχωρούμενοι. τὸ δὲ, ἀπὸ τοῦ κεκλίσθαι τὸ ἐπερηρεῖσθαι· καθὸ λέγεται τὸ ἀσπίσι κεκλιμένοι, ἤγουν ἐπερηρεισμένοι· κλίνη δὲ καὶ κλιντήριον ἀπὸ τοῦ ἀνακεκλίσθαι. ὀρθὸν μὲν γὰρ τὸ σῶμα ἑστηκός· κάμπτεται δὲ ἐν τῷ καθέζεσθαι, καὶ ἐκταθὲν ἐπὶ τῆς εὐνῆς ἐν τῷ κοιμᾶσθαι ἀνακλίνεται. — λασίοις· τρίχας ἔχουσι· τὸ γὰρ λάσιον τὸ τρίχας ἔχον ἁπλῶς δηλοῖ, οὐ τὸ δασύτριχον, ὡς ἀπὸ τούτων δῆλον·

ἐκ μὲν γὰρ λασίοιο δασυτρίχος εἶχε τράγοιο
κνακὸν δέρμα·

---

2. Cod. A. *τὸ τρέφω.* et *τὸ παιδεύειν.* Cod. B. *τοῦ.* 4. *Favorin.* fol. 148. vers. *ὡς τὰ βρώματα τῷ παιδὶ, ἢ τῷ σώματι.* 5. Cod. A. *μετ' ἀμφοτέρων.* 7. Cod. A. om. *καὶ.* Cod. A. *ἔτε.* quod primus editor, immemor eorum, quae supra annotaverat, male refinxit in *εἶτε.* Veram lectionem *ἔται* praebuit Cod. B. et Favorin. fol. 225. rect. Cf. Moschop. *π. σχεδ.* p. 121. 9. Cod. B. *στρατοπέδῳ.* 10. Cod. B. *οὐδὲ ποιητική.* 11. Odyss. *δ'.* 123. 14. Iliad. *β'.* 68. 16. Cod. *ἐπιρηρεῖσθαι.* Scherpezeelius maluit *ἐπηρεῖσθαι.* Ibid. Iliad. *γ'.* 135. Cod. A. *κεκλεισμένοι.* 17. Cod. A. *ἐπερειςμένοι.* Scherp. *ἐπηρεισμένοι.* 19. Cod. A. *ἐκτανθὲν* habet, vero proximum; nihilominus tamen primus editor *ἐντεῦθεν* inde exsculpsit. — Totam hoc Scholium habet *Favorinus* fol. 307. vers. Cf. Moschop. *π. σχεδ.* p. 98 sq. 21. Cod. A. *ἀπὸ τούτου.* Cod. B. *ἐν μὲν γὰρ λασίοις* male. est Theocriti locus ex Idyll. VII. v. 15.

εἰ γὰρ τὸ λάσιον τὸ δασύτριχον ἐδήλου ἐξ ἀνάγκης, εἰπὼν ἐνταῦθα λασίοιο οὐκ ἂν ἐπῆγε δασύτριχος. λέγεται μὲν οὖν κυρίως ἐπὶ τοῦ τρίχας ἔχοντος ἁπλῶς· καταχρηστικῶς δὲ ἔστιν ὅτε καὶ ἐπὶ τοῦ δασείας αὐτὰς ἔχοντος λαμβάνεται· καθὸ λέγεται *πώγων λάσιος*. — *μερμήριξεν*· μερμηρίζει κυρίως ἄνθρωπος, ὁρμαίνει δὲ λέων· καταχρηστικῶς δὲ καὶ ἐνηλλαγμένως αὐτὰ λέγεται, καὶ μάλιστα ἐν παραβολαῖς· ἔνθα καὶ ἐπιτηδεύεται ἡ ἀντίδοσις εἰς ἕνωσιν τῶν εἰκαζομένων. — *ἐναρίξοι*· ἔναρα τὰ σκυλεύματα ἀπὸ τοῦ αἴρειν· καὶ ἐναρίζειν τὸ σκυλεύειν· ἐνταῦθα δὲ ἐναρίξοι ἀντὶ τοῦ φονεύσοι· τὸ ἑπόμενον ἀντὶ τοῦ ἡγουμένου. ἔχει δὲ καὶ ἕτερον παρακινδύνευμα· τὸ γὰρ ἐναρίζειν ἐν πολέμῳ ἐξ ἀνάγκης ἐστὶ τῷ φόνῳ ἑπόμενον· τοιούτῳ δὲ φόνῳ οὐκ ἔστιν ἑπόμενον, ὥστε ὁ λόγος καὶ μεταφορὰν ἔχει, καὶ τῷ ἑπομένῳ ἀντὶ τοῦ ἡγουμένου χρῆται. — *ἐκ κολεοῖο*· ἡ εὐθεῖα τὸ κολεόν· ὅτι δὲ οὐδετέρως αὐτὸ λέγει, δῆλον ἀπὸ τούτων·

ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο.

— *κηδομένη τε*· κήδω τὸ λυπῶ, πρὸς αἰτιατικήν·

καλόν τοι σὺν ἐμοὶ τὸν κήδειν ὅς κέ με κήδῃ.

ἀφ' οὗ κήδεα αἱ λῦπαι· ἔστι δὲ ποιητικόν· κήδομαι δὲ τὸ φροντίζω, κοινόν· ἀφ' οὗ κηδεμονία· λέγεται δὲ πρὸς γενικήν. — *ξανθῆς δὲ κόμης*· κόμη, ἐπὶ τοῦ κόσμου τῶν τριχῶν τῶν ἀνθρώπων, καὶ ἔθειρα ποιητικῶς ἐπὶ τοῦ αὐτοῦ. λέγεται ἡ κόμη καὶ ἐπὶ τῶν δεν-

---

2. Cod. A. λασίοις. Hoc Scholium deest apud Favorinum. 6. Cod. B. ἐνηλλαγμένα. *Favorin.* fol. 355. rect. ἐνηλλαγμένως. desunt ibi ultima Scholii verba. 8. In Cod. B. librarius in lemmate et in Scholio continuata scriptura quater exaravit ἐνάριξοι et ἐνάριζειν, ita ut de errore per festinationem commisso cogitari non possit. Plura ejusmodi in praefatione ad Scholia in Homeri Iliadem notabimus. Scherpezeelius maluit ἐναίρειν. 10. Vitiose ex Cod. A. editum est: παρὰ κινδύνευμα. 11. Cod. B. ἐπὶ τῷ φόνῳ. *Favorinus* fol. 184. vers. priorem tantum hujus Scholii partem habet. 14. Cod. A. ἀπὸ τούτου.

15. Iliad. γ'. 272. Cod. A. παρὰ ξίφεος et ἄορτο. Cod. B. πὰρ ξίφος. Scholion deest apud Favorinum. 17. Iliad. ι. 611. Cod. A. κήδειν. Cod. B. κήδει. 18. Scherpezeelius vitiose edidit: ἔστι δὲ ποιητικὸν κήδομαι, τὸ φροντίζω κοινὸν, ἀφ' οὗ κηδομένη. Hoc Scholion non integrum legitur apud Favorinum fol. 302. rect. 20. Omnia, quae post verba τῶν ἀνθρώπων addidimus, desunt in Cod. B.

δρων, ἀφ' οὗ κομᾶν ἐπί τε δένδρων ἀντὶ τοῦ θάλλειν, καὶ ἐπ' ἀνθρώπων ἀντὶ τοῦ κόμην τρέφειν. καὶ ἔτι, κομᾷ τις ἐν ἀγαθοῖς, κατὰ μεταφορὰν ἀντὶ τοῦ, τοῖς ἀγαθοῖς ἐντρυφᾷ. ἡ δὲ θρὶξ αὐτῷ δηλοῖ τὸ ὑποκείμενον. διαφέρει δὲ τῆς χαίτης τῷ, τὴν μὲν καθόλου λέγεσθαι, τὴν δὲ χαίτην ἐπὶ μόνων τῶν ἵππων. οἱ ποιηταὶ δὲ ἔστιν ὅτε καὶ ἐπ' ἀνθρώπων τὴν χαίτην λέγουσι καταχρηστικῶς. ἔχει μὲν οὖν λόγον ἡ θρὶξ πρὸς τὴν κόμην τὸν αὐτὸν, ὃν ἔχει ἡ ἐσθὴς πρὸς τὴν στολήν. στολὴ μὲν λέγεται ἐπὶ τοῦ τοιοῦδε σχήματος καὶ τοῦ κόσμου τῶν ἐσθήτων· ἐσθὴς δὲ ἁπλῶς τὸ ἱμάτιον. — θάμβησε δ' Ἀχιλλεύς· Πορφύριος· θαυμάζειν τὸ ὁρᾶν τι μετ' ἐκπλήξεως διὰ τὸ θεῖον εἶναι· καὶ θηεῖσθαι τὸ αὐτὸ ποιητικόν. καὶ θαμβῆσαι κυρίως μὲν τὸ φοβηθῆναι καὶ φεύγειν θεὸν ἰδόντα· οἷον,

θάμβησεν κατὰ θυμὸν, ὀΐσατο γὰρ θεὸν εἶναι.

καταχρηστικῶς δὲ καὶ ἐπὶ τοῦ θείου λόγου·

ἡ μὲν θαμβήσασα πάλιν οἶκόνδε βεβήκει,
παιδὸς γὰρ μῦθον πεπνυμένον ἔνθετο θυμῷ.

— ὑπεροπλίῃσιν· ὑπέροπλος, οὗ ἡ ἰσχὺς καὶ ὅπλων ἐστὶν ἐπικρατεστέρα, ἢ ὁ νομίζων ἑαυτὸν καὶ ὅπλων ἐπικρατέστερον· ἀφ' οὗ ὑπεροπλία ἡ ὑπερηφανία. — ἔπεσι μὲν ὀνείδισον· λοιδορία ἐστὶν, ὁτάν τις λόγον ὑβριστικὸν λέγῃ κατά τινος· κατηγορία δὲ, δὲ μαρτυρία κακῶν, ἃ μαρτυρεῖ τις κατά τινος· ὀνειδισμὸς δὲ, ἀνάμνη-

1. Verba ἐπί τε δένδρων male om. Scherpezeelius. 5. Cod. A. λέγεται. 7. Cod. A. ὃν ἔχειν. 8. Cod. A. vitiose et sine sensu: λέγεται ἐπὶ τούτοις οὐδὲ σχήματος. Scherpezeelius οὐδὲ in ἀντὶ mutare voluit. Nostrae emendationi viam moustrarunt Favorini verba fol. 222. vers. ἐσθὴς, τὸ ἁπλῶς ἱμάτιον· στολὴ, τὸ τοιόνδε σχῆμα τῆς ἐσθῆτος. cf. *Moschop.* π. σχεδ. p. 127. *Thom. Mag.* p. 147, 5. edit. Ritschel. Praeterea nostrum Scholion in Favorini collectione desideratur. 10. Porphyrii nomen om. est in Cod. B. et apud Favorin. qui pauca tantummodo hujus Schol. verba habet p. 256. rect. Ibid. Cod. B. τὸ ὁρᾶν τὸ. 11. Cod. A. καθηεῖσθαι et ποιητικῶς. 12. Cod. A. εἰδόντο. Scherp. εἰδόντα. 13. Odyss. ά. 323. Cod. B. θάμβησε et ἐείσατο. 15. Odyss. ά. 360. Cod. B. οἶκονδε. 18. Cod. A. ἢ ὀνομάζει ἑαυτὸν. 19. Cod. A. ἡ ὑπεροπλία, ἡ ὑπερηφάνεια. Nostram scripturam exhibet etiam Favorinus fol. 514. rect. 20. Cod. A. λόγους ὑβριστικοὺς. Idem Favor. fol. 341. vers. qui priorem tantum Scholii partem exscripsit.

σις εὐεργετημάτων ὧν τις παρέσχετο, ἢ ἀνάμνησις ἐλαττωμάτων· οἷον,

οὐ μέμνῃ ὅτε τ' ἐκρέμω;

ὀνειδίζειν μὲν οὖν ἡ Ἀθηνᾶ τῷ Ἀχιλλεῖ παρακελεύεται. ὁ δὲ καὶ ὑποσχόμενος, ὅμως τῷ θυμῷ ἐπικρατούμενος, οὔπω γάρ φησι λῆγε χόλοιο, οὐκέτι ὀνειδίζει, ἀλλὰ λοιδορεῖται. — σφωίτερον· ἀντὶ τοῦ σόν· δοτικὴ ἀντωνυμία ἀντὶ ἑνικῆς. — εἰρύσασθαι· ἐρύομαι τὸ φυλάσσω, καὶ πλεονασμῷ τοῦ ῑ, εἰρύομαι, καὶ εἰρύσομαι μέλλων, εἰρυσάμην ἀόριστος, ἀφ' οὗ τὸ εἰρύσσασθαι κατὰ πλεονασμὸν τοῦ σ̄ διὰ τὸ μέτρον. — ἦ· ἠμὶ ταυτὸν τῷ φημὶ, οὗ δεύτερος ἀόριστος ἦν, ἀντὶ τοῦ ἔφην· τὸ τρίτον ἦ. — ἐξαῦτις· ἀντὶ τοῦ μετὰ ταῦτα, ἔπειτα· ταυτὸν τῷ μετόπισθεν. τὸ γὰρ ὄπισθεν ἐπὶ χρόνου λαμβανόμενον, ταυτὸ δύναται τῷ αὖτις· καὶ ἀμφότερα δὲ τὰς προθέσεις, τὸ μὲν τὴν ἐξ, τὸ δὲ τὴν μετὰ, περισσὰς ἔχουσι, ταυτὸ καὶ αὐτὰς δυναμένας· καὶ ἀμφότεραι γὰρ ὑστεροχρονίαν δηλοῦσιν. — ἀταρτηροῖς· ἀπὸ τοῦ ἄτη ἀτηρὸν, καὶ κατὰ ἀναδίπλωσιν γραμμάτων ἀτατηρὸν, καὶ προσθήκῃ τοῦ ρ̄ διὰ τὸ μέτρον, ἀταρτηρόν· ἔστι μὲν οὖν ἀταρτηρὸν τὸ βλαπτικόν. ἐνταῦθα δὲ ἀταρτηροῖς φησὶ ἐπέεσσι κατὰ μεταφορὰν, ἀντὶ τοῦ ὑβριστικοῖς· — περὶ γάρ ῥα ἑ χαλκὸς ἔλεψε· περιέλεψε γὰρ αὐτὸ ὁ χαλκὸς τὰ φῦλλα καὶ τὸν φλοιόν· ἀπὸ αἰτιατικῆς εἰς αἰτιατικὴν, ὡς τὸ περιδύω καὶ ἀποδύω καὶ ἀφαιροῦμαι· ἔστι μὲν οὖν τὸ περιέλεψε ταυτὸν τῷ τοῦ φλοιοῦ ἐγύμνωσεν· ἐνταῦθα δὲ ἀντὶ τοῦ περιῄρηκεν ἁπλῶς λέγεται. — εἰρύαται· εἰρύομαι ἐνεστὼς, εἰρύσομαι μέλλων, εἴρυμαι παρακείμενος· τὸ τρίτον τῶν πληθυντικῶν εἴρυνται, καὶ Ἰωνικῶς εἰρύαται. — ἀνόρουσεν· ὀρούω τὸ ὁρμῶ, καὶ ὄρνυμαι τὸ διεγεί-

2. Cod. B. ὅτ' ἐκρέμω. Iliad. ό. 18. 3. οὖν deest in Cod. B. Ibid. Cod. A. παρακαλύεται (sic). et ὅδε. 4. Cod. A. ἔτι κρατούμενος. 6. Cod. B. τὸ σόν. Favorin. fol. 490. rect. Reliqua, quae ibidem leguntur, non Moschopuli sunt, sed ex Apollonii Rhodii Scholiasta (ad III. 395. 600. 625.) ad verbum transscripta. 8. Cod. B. εἰρυσσάμην, et sequentia ἀφ' οὗ τὸ εἰρύσσασθαι omisit. Habet ea *Favorin.* fol. 167. vers. 11. Cod. A. λεγόμενον. Item Favorin. fol. 193. vers. 14. Cod. B. ἀμφότερα. 17. Cod. A. om. οὖν. et in seqq. ἔφη. Scholium habet Favorin. fol. 88. rect. et *Eclog.* p. 128, 17. Dind. 19. Cod. A. αὐτόν. Favorin. fol. 422. vers. 21. οὖν deest in Cod. B.

ρομαι, * ὀρίνω δὲ ἕτερον, καὶ ὀρνύω. * ὀρούω ἐνεστώς· ὤρουον παρατατικός· ὀρούσω μέλλων· ὤρουσα ἀόριστος· ὄρωρα μέσος παρακείμενος, καὶ κατὰ μετάθεσιν ἔστιν ὅτε διὰ μέτρου ἀνάγκην ὤρορα, ἀπὸ τοῦ ὄρομαι· ἀφ' οὗ τὸ ὄρμενος ἐπὶ παρακειμένου· ὅτι δὲ ἀπὸ τοῦ παρακειμένου τοῦτο γίνεται, ἀλλ' οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, δῆλον ἀπὸ τοῦ προστακτικοῦ· ὄρσο γὰρ τὸ προστακτικὸν, ἀπὸ τοῦ παρακειμένου, ὃ καὶ πλεονασμῷ τοῦ ε ἔστιν ὅτε ὄρσεο λέγεται. προπαροξύνεται δὲ τὸ ὄρμενος διὰ τὸ ἀναύξητον μεῖναι κατὰ τὴν τῶν Ἰώνων συνήθειαν, ὡς καὶ τὸ βλήμενος καὶ τὸ φθίμενος· ἀπὸ τοῦ ὄρομαι καὶ τὸ ὤρετο ἐπὶ παρατατικοῦ·

ὅτε τ' ὤρετο μητίετα Ζεύς.

τὸ δὲ ὀρίνω οὕτω προχωρεῖ· ὀρίνω ἐνεστώς καὶ ὀρνύω· ὤρινον παρατατικός·

θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν.

ὄρσω μέλλων ἑτεροκλίτως. ὦρσα ἀόριστος· κοινὰ ταυτοδυνάμενα τούτοις, ὁρμῶ ὥρμων ὁρμήσω ὥρμησα ὥρμηκα· παρορμῶ ἢ διεγείρω, παρώρμων παρορμήσω παρώρμησα. — μελίτος γλυκίων· οὐ μάτην, φασὶν, Ὅμηρος τοῦ Νέστορος λόγους μέλιτι προσεικάζει, ἀλλὰ θέλει δηλοῦν, ὅτι ὥσπερ τὸ μέλι τοῖς μὲν ὑγιαίνουσιν ἥδιστον καὶ γλυκύτατον πάντων δοκεῖ, τοῖς δὲ νοσοῦσι καὶ πυρέττουσιν ἀηδέστατον, καὶ τὰ ἡλκωμένα καὶ πεπονθότα καθαίρειν καὶ δάκνειν πέφυκεν· οὕτω καὶ ὁ τούτου λόγος τοῖς μὲν ἀνοήτοις καὶ ὑπ' ὀργῆς ἢ τοιούτου τινὸς νοσοῦσιν, καθαίρων αὐτῶν καὶ καταστέλλων τὴν μοχθηρίαν, δακνηρὸς ἐδόκει καὶ ἀηδής· τοῖς δὲ φρονίμοις καὶ ὑγιαίνουσι γλυ-

1. Verba ὀρίνω δὲ ἕτερον, καὶ ὀρνύω e Cod. B. addidi. 2. Cod. B. ὤρωρα. 3. ἔστιν ante ὅτε deest in Cod. A. 6. Cod. A. ὄρσου γὰρ τὸ προστακτικὸν ἀπὸ τοῦ ὄρσω. Favorin. fol. 58. rect. ἀπὸ τοῦ ὑπερσυντελικοῦ. 8. Cod. A. τὴν Ἰωνικὴν συνήθειαν. 11. Iliad. μ'. 279. 12. Cod. A. hic et infra ὀρύνω. 14. Iliad. β'. 142. 15. Cod. B. κοινὰ ταῦτα et parva lacuna, quam ex Cod. A. et Favorino, qui alteram hujus Scholii partem fol. 393. vers. profert, supplevi. 16. Cod. A. et Favor. l. l. ὥρμησα ὥρμημαι, et in seqq. om. παρορμήσω. 18. Scherpezeelius optimam Codicis sui lectionem φασὶν — προσεικάζει emendando corrupit in φησὶν — προσεικάζειν.

20. Cod. A. νοοῦσι et ἡλκαμένα. 24. Cod. A. δακνυρός. quod editor in annotatione in δακέθυμος vel δακνώδης mutare voluit.

κύς· ὅθεν καὶ τῷ Ἀχιλλεῖ καὶ τῷ Ἀγαμέμνονι νοσοῦσι καὶ διεφθαρμένοις πικρὸς ἔδοξεν, ὥστε οὐδὲ ἐπείσθησαν αὐτῷ διὰ τὴν ἔννοιαν. — ἐφθίατο· φθίνω τὸ φθείρομαι, καὶ φθινύθω τὸ αὐτό·

τούςδε δ' ἔα φθινύθειν, ἕνα καὶ δύο·

καὶ φθινυθέσκω, ἀφ' οὗ παρατατικὸς φθινύθεσκον· καὶ φθίομαι, μέλλων φθίσομαι, ἀόριστος ἐφθίθην· ἀφ' οὗ τὸ ἔφθιθεν, κατὰ τὴν ἀκολουθίαν τοῦ ἐφάανθεν. παρακείμενος ἔφθιμαι, ἀφ' οὗ τὸ φθίσθαι καὶ ὁ φθίμενος. ὁ ὑπερσυντελικὸς ἐφθίμην· τὸ τρίτον τῶν πληθυντικῶν ἔφθιντο, καὶ Ἰωνικῶς ἐφθίατο· ἐνεργητικὰ δὲ ὀλέκω ἐνεστὼς, ὤλεκον παρατατικὸς, φθίσω μέλλων, ἀπὸ τοῦ φθίω ἀχρήστου·

φθίσει σε τὸ σὸν μένος·

ὤλεσα ἀόριστος. — γηθῆσαι· χαίρω κοινόν, γηθῶ ποιητικόν·

νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
γηθεῖ ἐνὶ στήθεσσι.

παρατατικὸς κοινὸς μὲν ἔχαιρον, ποιητικὸς δὲ ἐγήθεον. μέλλων κοινὸς μὲν χαιρήσω, ποιητικὸς δὲ γηθήσω. ἀόριστος ἐγήθησα καὶ ἐχηράμην, καὶ ἀμφότεροι παρὰ ποιηταῖς ἐν χρήσει· καὶ ἔτι ἐχαρόμην μέσος δεύτερος ἀόριστος, ἀφ' οὗ χαροίμην, χάροιντο, χαροίατο, καὶ κατὰ ἀναδιπλασιασμὸν κεχαροίατο· ἐχάρην δὲ κοινὸν. ἀπὸ τοῦ ἐγήθησα, γηθήσαιμι εὐκτικὸν, τὸ τρίτον γηθῆσαι. — πυθοίατο· πεύθομαι ἐνεστὼς ποιητικὸς, πυνθάνομαι κοινός. παρατατικὸς ἐπευθόμην καὶ ἐπυνθανόμην· πεύσομαι μέλλων καὶ πευσοῦμαι, ὡς φεύξομαι, φευξοῦμαι· ἐπυθόμην μέσος ἀόριστος δεύτερος, ἀφ' οὗ πυθοίμην· τὸ τρίτον τῶν πληθυντικῶν πύθοιντο, Ἰωνικῶς πυθοίατο. — μαρναμένοιϊν· μάρναμαι ἐνεστὼς, ἀφ' οὗ μετοχὴ ὁ μαρνάμενος. γενικὴ καὶ δοτικὴ

---

2. Cod. A. διὰ τὴν ἄνοιαν. Hoc Scholion deest apud Favorinum.

4. Cod. B. τούςδε ἔα. Iliad. β'. 346. 5. Cod. B. ἐφθινύθεσκον. Rectius Cod. A. et *Favorinus* fol. 235. rect. φθινύθεσκον, sine augmento.

Ibid. Cod. B. φθίνομαι· vitiose. 7. Cod. A. ἔφανθεν. Cod. A. τὸ ἐφθίσθαι καὶ ὁ φθιμένος. Cod. B. τὸ φθίσθαι καὶ ἐφθίμενος. Recte Favorinus l. l. τὸ φθίσθαι καὶ ὁ φθίμενος. 9. Cod. A. ἐνεργητικῶς δὲ.

10. Cod. A. φθίνω. 11. Iliad. ζ'. 407. 13. Iliad. ξ'. 139. 14. Cod. B. ποιητικῶς δὲ. 15. Cod. B. ἔχαρον. Cod. A. et Favor. fol. 119. vers. ἐχηράμην. 17. χαροίατο deest in Cod. B. 19. πυθοίατο. Favorin. fol. 455. vers. 23. μαρναμένοιϊν, Favorin. fol. 348. rect.

τῶν δυϊκῶν μαρναμένοιν, καὶ πλεονασμῷ τοῦ ι μαρναμένοιιν· *μάχομαι, μέλλων μαχήσομαι ἑτεροκλίτως, καὶ μαχέσομαι καὶ μαχοῦμαι· ἀόριστος ἐμαχησάμην.* — ἀθέριζον· ἐν ἀθέρων μοίρᾳ εἶχον· λέγονται δὲ ἀθέρες τὰ κοινῶς ἄγανα. — φηρσὶν· ἀντὶ τοῦ θηρσὶν, τροπῇ τοῦ θ εἰς φ Αἰολικῶς. — μαχέοιτο· μάχομαι καὶ πλεονασμῷ τοῦ ε, μαχέομαι, ἀφ' οὗ τὸ εὐκτικὸν μαχεοίμην, τὸ τρίτον μαχέοιτο. — ξύνιον· ξυνίω ἐνεστὼς ἄχρηστος, ἀφ' οὗ τὸ ξυνίεις παρὰ Σοφοκλεῖ διὰ διφθόγγου·

εἰ δὲ ξυνίεις μηδέν·

καθὸ καὶ μεθίει λέγεται, ἀντὶ τοῦ μεθίησιν, ἤτοι ἀμελεῖ, *χαυνοῦται·*

οὐδ' ἂν ἔγωγε
ἀνδρὶ μαχεσσαίμην, ὅστις πολέμοιο μεθίει
λυγρὸς ἐών.

παρατατικὸς ξύνιον· τὸ τρίτον τῶν πληθυντικῶν ξύνιον. — ὑποβλήδην· ὑποβάλλειν ἐπὶ γυναικῶν, ὅταν τὰ ἀλλότρια βρέφη ἰδιοποιῶνται· καὶ ἀπὸ τούτου ἁπλῶς ἐπὶ τῶν τὰ ἀλλότρια ὡς οἰκεῖα λαμβανόντων. ἀφ' οὗ ὑποβολιμαῖος υἱὸς ὁ θέσει, ἤγουν ὁ κοινῶς υἱόθετος· καὶ ὑπόβλητος λόγος παρὰ Σοφοκλεῖ ὁ ὑποβολιμαῖος, καὶ οὐ γνήσιος. καὶ ὑποβάλλει τίς τινι λόγους κατά τινος, ἤγουν λάθρα ὑποτίθεται. καὶ ὑποβάλλω τῷ οἴκῳ κίονα, ἤγουν ὑφιστῶ. καὶ ὑποβάλλειν τὸ ἑρμηνεύειν· καὶ τὸ διακόπτειν ἑτέρου λόγον τινὰ, καὶ

---

1. Verba, quae stellulis indicavi, in Cod. A. desiderantur. 4. Cod. A. ἀγανά. Cod. B. ἄγανα. Vix tamen dubium esse potest, quin reponendum sit ἄχυρα. Etym. M. p. 24, 33. οἱ γὰρ λικμῶντες ἐκρίπτουσι τοὺς ἀθέρας, τουτέστι τὰ ἄχυρα. 5. Haec verba negligenter transscripsit Favorinus fol. 349. vers. 7. Vocem ἄχρηστος, quam Codd. AB. omittunt, recepi e Favorino fol. 380 rect. qui suo more Moschopuli, Eustathii, aliorumque verba in unum conflavit.

9. *Soph.* Oedip. Tyr. 627. ubi Aldinae et quatuor (imo plurimorum) Codd. lectio ξυνίεις non tam levi negotio, quam Brunckio visum est, removenda est.

10. Cod. A. μεθίεισιν et om. χαυνοῦται. 11. Iliad. ν'. 118. 12. Cod. B. μαχεσαίμην. 15. Cod. A. βάλλειν ἐπὶ γυναικῶν. viliose; neque vitium animadvertit primus editor. 16. Cod. B. ἰδιοποιοῦνται. 18. Cod. A. υἱόθετος. Cod. B. ὑποθετὸς. *Favorinus* fol. 515. rect. haec verba omisit.

Ibid. Cod. B. ὑπόβλητος λέγεται. *Soph.* Aj. 481. 21. Cod. A. ἕτερον λόγον. Cod. B. et Favor. l. l. ἑτέρου.

ὑποτίθεσθαι τὸν ἑαυτοῦ, καθὸ λέγεται ἐνταῦθα τὸ ὑποβλήδην. — ἦ γάρ κεν δειλός· δειλὸς ὁ ἐναντίος τῷ ἀνδρείῳ, παρὰ τὸ δεδιέναι τὰς ἴλας. ποιητικῶς δὲ ὁ μὲν ἀνδρεῖος λέγεται ἐσθλὸς, διὰ τὸ ἐθελόντης μάχεσθαι· ὁ δὲ δειλὸς κακὸς, διὰ τὸ κεκακῶσθαι τὴν ψυχήν. δειλὸς δὲ καὶ ὁ δείλαιος, ἤγουν ὁ ἄθλιος, ποιητικῶς· ἐνταῦθα τὸ πρότερον. ἀπαντᾶ δὲ πρὸς τὸ,

εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοί.

— καὶ οὐτιδανὸς· οὐτιδανὸς ποιητικῶς, ὁ οὐδενὸς ἄξιος, ἀπὸ τοῦ οὔτις, κατὰ παραγωγὴν οὐτιανός· εἶτα προστιθεμένου τοῦ δ̅ δι' εὐφωνίαν, ὡς καὶ ἐν τῷ ἐχθοδοπῷ, τὸ μετὰ μίσους ἐμβλέπω, οὐτιδανός. — ἐΐσας· ἰσοβαρεῖς ἑκατέρωθεν· πλεονάζει δὲ τὸ ε̅, ὡς ἐν τῷ ἐείκοσι. — Μενοιτιάδης· ἀπὸ τοῦ Μενοίτιος, Μενοιτΐδης, ὡς ἀπὸ τοῦ Πρίαμος, Πριαμίδης· εἶτα κατὰ ἀποβολὴν τοῦ ι̅ καὶ πλεονασμῷ τοῦ α̅, * Μενοιτιάδης γίνεται· ὡς Νηληιάδης καὶ Ἀμφιτρυωνιάδης· τὸ δὲ Κρανιάδων παρὰ Θεοκρίτῳ οὐ κατὰ πλεονασμὸν ἔχει τὸ α̅· ἔστι γὰρ ἡ εὐθεῖα ἡ Κρανιὰς, ἀπὸ τοῦ κρηνὶς κατὰ μετασχηματισμόν. * — εἶσεν· ἀπὸ τοῦ ἕω ἀχρήστου, εἶσα ἀόριστος, ὡς ἀπὸ τοῦ ἐνέπω εἶπα. καθίζω ἕτερον, καὶ καθίζω ἐγώ. ἐκάθιζον παρατατικός, καθίσω μέλλων, ἐκάθισα ἀόριστος, καὶ εἶσα ποιητικῶς, ἐπὶ τῆς μεταβατικῆς τοῦ καθίζω σημασίας. τὸ δὲ καθέζομαι οὔτε πάθος, οὔτε ἐνέργειαν δηλοῖ, ὡς τὸ πλουτῶ καὶ τὸ ὑγιαίνω. καὶ ἔστιν ἐνεστὼς μὲν καθέζομαι, καὶ κάθημαι ἐπὶ τοῦ αὐτοῦ· παρατατικὸς ἐκαθεζόμην καὶ ἐκαθήμην· μέλλων καθεσθήσομαι ἢ καθε-

---

1. Cod. A. et Favor. l. l. ὑποτιθέναι. Ibid. Verba καθὸ λέγεται ἐνταῦθα in Cod. B. desiderantur. 3. Cod. B. ἐθελόντως. 4. Cod. A. κακῶσθαι.

7. Iliad. ά. 290. Cod. B. οἱ θεοί. 10. Cod. A. ἐχθροδόπω. Vid. Favorin. fol. 100. vers. 11. Cod. A. ἐϊσοβαρεῖς. Hoc Scholion deest apud Favorinum. 12. Cod. B. Μενοιτιάδης. 14. Cod. A. καὶ πλεονασμὸν ἔχει τὸ α̅ . . . vitiose et lacunose, omissis iis omnibus, quae nunc ex Cod. B. addidimus. Habet ea etiam Favorinus fol. 354. vers. et ultima fol. 317. vers. v. Κρανιάδων. Ibid. Favorin. l. l. vitiose Νημιάδης. 15. Theocr. Id. I. 22.

16. Cod. AB. ἡ κρηνιὰς. 18. Cod. B. ἐννέπω, εἶπεν. Scherpezeelius maluit: ὡς ἀπὸ τοῦ ἐνεστῶτος ἔπω εἶπα. At recepta lectio satis tuta est Codd. et Favorini testimonio fol. 168. vers.

θοῦμαι· ἀόριστος ἐκαθέσθην. παρακείμενος ἧσμαι ποιητικῶς, ὑπερσυντελικὸς ἥσμην, οὗ τὸ τρίτον ἧστο.

— ἐπ' ἀπλοκάμῳ δὲ μετώπῳ
ἧστο σαοφροσύνη κουροτρόφος· —

διαφέρει δὲ τὸ καθέζομαι τοῦ καθίζω τὴν αὐτὴν διαφορὰν, ἣν διαφέρει τὸ εἶναι τοῦ γίνεσθαι. — ἐπέπλεον ὑγρὰ κέλευθα· κοινῶς μὲν ἡ ἐπὶ, ὅτε τὸ ἐπάνω δηλοῖ, πρὸς δοτικὴν λέγεται, ἢ πρὸς γενικὴν, εἴτε μετὰ τοῦ ῥήματος κεῖται, εἶτα μετὰ τοῦ πτωτικοῦ, οἷον, ἐπὶ τῷδε τῷ τόπῳ κεῖται τόδε, καὶ ἐπιπλεῖ τόδε τῷ ὕδατι. ποιητικῶς δὲ πρὸς αἰτιατικήν· ἀλλ' ἐπὶ γαῖαν εἰσὶ δύο· καὶ ἐνταῦθα, ἐπέπλεον ὑγρὰ κέλευθα· λέγεται γὰρ ἀντὶ τῆς κατά, ἤγουν κατὰ γῆν δὲ εἰσὶ δύο, καὶ κατὰ τὰς ὑγρὰς τῆς θαλάσσης πορείας ἔπλεον. — κέλευθα· ἡ κέλευθος ἐπὶ τῶν ἑνικῶν θηλυκῶς· ἐπὶ δὲ τῶν πληθυντικῶν τὰ κέλευθα οὐδετέρως· ὡς τὰ κυκλὰ, τὰ δεσμὰ, τὰ χαλινὰ, τὰ μοχλὰ, ὧν τὰ ἑνικὰ ἀρσενικῶς λέγεται. — οἱ μὲν ἔπειτ' ἀναβάντες· ἐπὶ τὴν ναῦν δηλονότι. εἰ γὰρ τὴν ἀπὸ τοῦ λιμένος ἐπὶ τὸ πέλαγος ἤθελε δηλοῦν ἀναγωγὴν, ἀναχθέντες ἂν ἔλεγε. τὸ γὰρ ἀναβάντες τὴν διὰ ποδῶν σημαίνει ἀνάβασιν. — τεληέσσας· τέλειος κοινόν, τελήεις ποιητικόν· ἀπὸ τοῦ τέλος τελόεις, ὡς ἀπὸ τοῦ κρύος κρυόεις· καὶ τροπῇ τοῦ ο̄ εἰς η̄, τελήεις, τὸ θηλυκὸν ἡ τελήεσσα. οὕτω γίνεται καὶ τὸ μεσήεις· * ἀπὸ τοῦ μέσος γὰρ μεσόεις, καὶ τροπῇ τοῦ ο̄ εἰς η̄, μεσήεις. * — ἀτρυγέτοιο· ἀτρύγετος, ἡ μὴ ἔχουσα τρύγος ἤτοι πέρας· ὑπερβολικῶς ἀντὶ τοῦ ἡ βαθεῖα· ἢ ἣν οὐδεὶς δύναται τρυγῆσαι, ἤγουν ἡ πικρά. — ῥίγιον· χαλεπώτερον, ἀλγεινότερον·

3. Pertinent hi versus ad elegantissimam Christodori ἔκφρασιν ἀγαλμάτων v. 331 sq. in Anthol. graec. Palat. T. I. p. 51, edit. Jacobs. 8. Cod. A. bis om. articulum τοῦ. 9. Cod. A. τῷδε τῷ ὕδατι. 10. Hesiod. ἔργ. 11. 12. Cod. B. καὶ τὰς ὑγρὰς om. κατὰ. Cod. A. πορείαν. 13. Cod. B. ἐπέπλεον. Legitur hoc Scholion apud Favorin. fol. 203. vers. 15. τὰ μοχλὰ om. Favorin. Lex. fol. 298. rect. 16. Cod. A. ἐπὶ τὴν ναῦν δηλοῖ. 18. Cod. A. om. ἂν. 19. τεληέσσας: Favorin. Lex. fol. 496. rect. 22. Quae stellulis signavi ex Cod. B. accesserunt. 23. Deest hoc Scholium apud Favorinum. Ibid. Cod. A. τρύγα. Cod. B. τρύγος, quod mutare nolui. 25. ῥίγιον: Favorin. Lex. fol. 461. vers.

ἀπὸ τοῦ ῥιγοῦν καὶ τοῦ ῥίγους· ὥσπερ λυγρὸν ἀπὸ τοῦ λίαν ὑγρόν. ἐκ τῶν ὑγρῶν γάρ φασι καὶ τῶν ψυχρῶν τὰ ἀλγεινά· ἐκ δὲ τῶν θερμῶν, τὰ ἡδέα. — χαίρετε κήρυκες Διὸς ἄγγελοι· Διὸς ἀγγέλους λέγει τοὺς κήρυκας, φασὶν, διότι ἐμεσολάβουν ἐν ταῖς θυσίαις, καὶ διότι τὰς ἑορτὰς τῶν θεῶν ἤγγελον· ἢ διότι ἀπὸ τοῦ Ἑρμοῦ εἰσὶν, ὃς ἄγγελός ἐστι τοῦ Διός· Ἑρμῆς γὰρ, φασὶ, μιγεὶς Πανδρόσῳ τῇ Κέκροπος θυγατρὶ, ἔσχε παῖδα ὀνόματι Κήρυκα, ἀφ' οὗ τὸ τῶν κηρύκων γένος. — ἆσσον· ἔγγιον, ἔσσον, ὡς τάχιον, θᾶσσον· καὶ τροπῇ τοῦ ε εἰς α, ἆσσον. — μάρτυροι· ἡ εὐθεῖα ὁ μάρτυρος, * ἀπὸ τῆς μάρτυρος γενικῆς * ὡς ὁ φύλακος ἀπὸ τῆς φύλακος, καὶ ὁ ἑκατόγχειρος ἀπὸ τῆς ἑκατόγχειρος. τῶν Ἰώνων τοῦτο ἐστίν. — πρός τε θνητῶν ἀνθρώπων· θνητοὺς λέγει τοὺς ἀνθρώπους, ἀντιδιαστέλλων πρὸς τοὺς θεοὺς, ὅτι ἐκεῖνοι ἀθάνατοι. — χρειὼ ἐμεῖο· ἡ χρειὼ, ὡς ἡ Κλειὼ, καὶ ἡ Κλωθώ. λέγεται καὶ χωρὶς τοῦ ι·

χρεὼ βουλῆς ἐμὲ καὶ σέ.

— ὀλοῇσι· ὀλοὸν, τὸ ὀλέθριον ποιητικόν· ἐνταῦθα δὲ ὀλοῇσι φρεσὶν ἀντὶ τοῦ βεβλαμμέναις. — ἐπεπείθετο· πείθομαι, ἐπειθόμην, ἐπείθετο, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐπεπείθετο. ἔστι δὲ τῶν Ἰώνων ὁ τοιοῦτος ἀναδιπλασιασμός· οὗτοι γὰρ τὴν κοινὴν ἀκολουθίαν ἐκφεύγοντες, ἔνθα μὲν οὐκ ἔστιν ἀναδιπλασιασμοῦ χρεία, ἀναδιπλασιασμὸν ποιοῦνται, ἔνθα δὲ τὸ ῥῆμα τὴν τούτου ἀπαιτεῖ αὔξησιν, ἐκκλίνουσιν αὐτὸν, ἀναύξητα τηροῦντες τὰ ῥήματα. — ἴτην. ἴω, τὸ

3. Cod. B. in lemmate: ἄγγελοι τοῦ Διός· vitiose. 4. In Cod. A. post ἐμεσο .... lacuna est, quam Cod. B. redundantius voce ἐμεσροσυλάβουν explet; veram autem lectionem ἐμεσολάβουν servavit Favorinus Lex. fol. 303. rect. Verbum μεσολαβεῖν h. l. eadem significatione legitur, qua μεσιτεύειν apud Eustathium p. 112, 39. edit. Rom. 5. καὶ deest in Cod. B. 6. Cod. A. φησὶ.

8. Cod. A. et Favorin. fol. 86, rect. ἔσσον. cf. Eustath. ad Iliad. ζ'. 143. p. 630, 16. Cod. B. ἔσσον. 11. Favorin. fol. 348. haec addit: οὕτω καὶ ἀπὸ τῆς γενικῆς ἀερσιπότητος ἡ ἀερσιπότητος εὐθεῖα. 15. Iliad. κ'. 43.

16. Cod. A. in lemmate: ὀλοῇσι· Cod. B. ὀλοῆσιν. Ibid. Cod. AB. τὸ ὀλέθριον ποιητικόν. Favorin. fol. 387. rect. τὸ ὀλέθρου ποιητικόν. Scribe: τὸ ὀλεθροποιόν. 19. Cod. B. ἀνεκφεύγοντες, syllaba αν ex ultima antecedentis vocabuli perperam repetita. Favorin. fol. 201. rect. φεύγοντες. 20. Cod. A. ἔνθα μὲν οὐκ ἔστιν ἀναδιπλασιασμὸς, ποιοῦνται. vitiose. 22. Cod. A. αὐτό.

᾿ἔρχομαι· ὁ παρατατικὸς ἴων· τῶν δυϊκῶν τὸ τρίτον ἰέτην, καὶ κατὰ συγκοπὴν ἴτην. — λιασθείς· τὸ λιασθεὶς τὸ φυγὼν καὶ σὺν δρόμῳ ἀπελθὼν * δηλοῖ· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἀπελθὼν * ἁπλῶς λέγεται· προσκεῖται γὰρ τὸ ἄφαρ ταὐτὸ δυνάμενον τῷ ταχέως· τὸ δὲ νόσφι τὸ ἰδίᾳ δηλοῖ. ὁμοῦ δὴ τὸ νόσφι λιασθεὶς ταὐτὸ δύναται τῷ χωρισθεὶς, καὶ ἔχει τὸ πᾶν οὕτως· σὺν ταχύτητι χωρισθεὶς τῶν ἑταίρων ἐκάθητο κατὰ τὸν αἰγιαλὸν τῆς λευκῆς θαλάττης, ὁρῶν ἐπὶ τὸν μέλανα πόντον. — θῖν' ἐφ' ἁλὸς πολιῆς· ἅλα λέγει πᾶσαν τὴν θάλασσαν, διὸ καὶ λευκὴν αὐτήν φησιν, ἀπὸ τοῦ αἰγιαλοῦ πᾶσαν οὕτω λέγων· πόντον δὲ τὸ ἐντὸς καὶ πόῤῥω τοῦ αἰγιαλοῦ· διὸ καὶ οἴνοπα ἤτοι μέλανα αὐτὸν λέγει. κατὰ γὰρ τὸ ἄκρον ἡ θάλασσα, τῶν ἀκτίνων τοῦ ἡλίου διερχομένων αὐτὴν, πεφωτισμένη γίνεται, καὶ διὰ τοῦτο λευκή· κατὰ δὲ τὸ ἐνδοτέρω καὶ πόῤῥω τοῦ αἰγιαλοῦ, ἀμβλυνομένων τῶν ἀκτίνων ὑπὸ τοῦ βάθους, καὶ μὴ δυναμένων κατ' αὐτῆς διατείνειν καὶ φωτίζειν αὐτὴν, σκιώδης ἐστὶ, καὶ διὰ τοῦτο μέλαινα. — οἴνοπα· οἴνου ὄψιν ἔχοντα, ἤτοι μέλανα· ὁ γὰρ οἶνος ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τὸ μέλαν ῥέπει. σπάνιοι γὰρ οἱ λευκοὶ οἶνοι, καὶ οἱ βότρυες γὰρ σπάνιοι οἱ λευκοί· διὸ καὶ ἐπίθετον τῶν βοτρύων Ὅμηρος * τὸ μέλαν * τίθησιν·

μέλανες δ' ἀνὰ βότρυες ἦσαν.

ἀπὸ τοῦ πλεονάζοντος δηλονότι. ἴσως δὲ καὶ τὸ παλαιὸν τοῦτο μᾶλλον ἠλήθευεν, ἀπεριεργοτέρων ὄντων τότε τῶν ἀνθρώπων, ἅτε τῆς πείρας οὔπω ἐπιπολὺ προχωρησάσης· νῦν γὰρ καὶ οἱ λευκοὶ βότρυες

---

1. Cod. B. ἰέτην. vitiose. 2. Quae stellulis indicavi, e Cod. meo addidi. 4. Cod. B. τὸ ἄφαρτα τὸ δυνάμενον τὸ ταχ. 5. Cod. A. ὁμοῦ δὲ τόνος λιασθεὶς. Veram lectionem Cod. B. praebuit. Desunt haec apud Favorinum 6. Cod. B. χωρὶς τῶν ἑταίρων. 9. καὶ deest in Cod. B. 11. Deest λέγει in Cod. B. 12. Favorin. fol. 30. vers. διαδεχομένων αὐτὴν. 13. Cod. B. κατὰ δὲ τῷ. 15. Favor. l. l. καὶ καταφωτίζειν. 15. Cod. A. μέλανα. et statim Cod. B. ἤτοι μέλαινα. uterque vitiose. 16. ὡς deest in Cod. B. recepi ex Cod. A. et Favor. fol. 384. vers. ubi priora tantum hujus Scholii verba leguntur. 19. τὸ μέλαν inserui ex Cod. B. 20. Iliad. σ'. 562. 21. Scherpezeelius δῆλον, et statim vitiosius etiam e Cod. A. edidit: μᾶλλον ἢ λίθειον. Veram lectionem praebuit Cod. B.

πολλοὶ, τῶν ἀνθρώπων τὴν τούτων κτῆσιν ἐπιτηδευόντων. — ὀρεγνύς· ἀπὸ τοῦ ὀρέγω τὸ ἐκτείνω, ὀρεγνύω καὶ ὀρέγνυμι, ὡς ἀπὸ τοῦ ἄγω τὸ κλῶ, ἄγνυμι· παρατατικὸς ὠρέγνυον· οὐ γὰρ τὸ ὠρέγνυν ἐν χρήσει, ὥσπερ οὐδὲ τὸ ἐζεύγνυν, οὐδὲ τὸ ἐτίθην· ἡ μετοχὴ ὁ ὀρεγνύς, ἀπὸ τοῦ ὠρέγνυν ἀχρήστου, ὡς ὁ ζευγνὺς καὶ ὁ τιθεὶς, ἀπὸ τοῦ ἐζεύγνυν καὶ ἐτίθην. — μινυνθάδιον. ἀπὸ τοῦ μινύθω, τὸ σμικρύνω, μίνυνθα ἐπίῤῥημα χρονικὸν, ἀντὶ τοῦ ἐπ' ὀλίγον, κατὰ πλεονασμὸν τοῦ ν, ᾧ ἐναντίον τὸ δηθὰ, καὶ τὸ δήν·

μίνυνθά περ οὔτι μάλα δήν.

ἀφ' ὧν μινυνθάδιος, ᾧ ἐπ' ὀλίγον ἡ ζωή· καὶ δηναιὸς τὸ ἐναντίον, ἤγουν ᾧ ἐπιπολὺ ἡ ζωή· λέγεται τὸ μινυνθάδιος καὶ ἐπὶ τοῦ χρόνου·

μινυνθάδιος δέ οἱ αἰών·

— ἐόντα· ἀντὶ τοῦ ἐσόμενον· περιττὸς δὲ ὁ περ, ὡς ἐν τῷ,

τιμήν πέρ μοι ὄφελλεν.

— ὑψιβρεμέτης· ὁ τῶν βροντῶν αἴτιος, αἳ ἐν τῷ ὕψει ἠχοῦσιν. — ἀπούρας· ἀπουρίζω ἐνεστὼς, ἀντὶ τοῦ ἀφορίζω καὶ ἀλλοτριῶ, ἀπὸ τῆς ἀπὸ προθέσεως καὶ τοῦ ὅρος, τὸ ὁρόθεσιον· ο δασυνόμενον, εἰ προςλάβοι τὸ υ, ψιλοῦται· ὡς τὸ εὔκηλος ἀπὸ τοῦ ἕκηλος, ὁ ἥσυχος· μέλλων ἀπουρίσω·

ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.

ἀόριστος ἀπούρισα, ἀφ' οὗ μετοχὴ ἀπουρίσας, καὶ κατὰ συγκοπὴν ἀπούρας. — κατέρεξεν· ῥέζειν τὸ πράττειν καὶ τὸ θύειν. ἐνταῦθα δὲ κατέρεξεν ἀντὶ τοῦ κατέψησε, κατὰ μεταφορὰν ἀπὸ τῶν διὰ χειρῶν πράξεων. οὐκ ἔχει δὲ τὸ δι' εὐφωνίαν ἐν τοῖς τοιούτοις προςγινόμενον ρ, αὐξανομένης φωνήεντι τῆς ἀρχούσης, διὰ τὸ μέτρον. — ἐπασσύτεροι· ἀντὶ τοῦ ἀλλεπάλληλοι, συνεχεῖς· τὸ συγκρι-

---

1. Cod. A. τὴν τούτου κτῆσιν. 2. Cod. A. et Favor. fol. 392. vers. habent ὀρέγνυμαι et ἄγνυμαι. 3. Cod. A. ὠρέγνον. 5. Cod. A. ἐρυγνὴς. 8. *Favorin.* fol. 362. rect. ᾧ ἐναντίον τὸ δηθὴν. vitiose. 9. Iliad. ά. 416. 10. Deest ᾧ in Cod. A. 11. Deest καὶ in Cod. A. 12. Cod. B. in loco Homerico: τοι. Iliad. δ'. 478. 14. Iliad. ά. 353. 15. Cod. A. βροτῶν. 19. Cod. B. ἀπουρήσω, et in seqq. ἀπορέσσουσιν, ἀπούρησα et ἀπουρήσας. 20. Cod. A. ἀπουῤῥίσουσιν. Iliad. χ'. 489. Partem hujus Scholii habet Favorin. fol. 74. rect.

τικὸν ἀντὶ ἁπλοῦ. ἀπὸ τοῦ ἄσσον, τὸ πλησίον. λέγεται δὲ ἐν τούτῳ τὸ πλησίον χρονικῶς, οὐ τοπικῶς. — Ἑκάτοιο· κατὰ παράληψιν ἀντὶ τοῦ Ἑκατηβόλου, ὡς αἰολοπώλους ἐν ἄλλοις λέγει ἀντὶ τοῦ ταχύποδας πώλους. — περίσχεο· ἀντὶ τοῦ ἀντίσχου. ἐνεστὼς ἀντέχομαι, ἢ ἀντιλαμβάνομαι· ὃ λέγεται ἐπὶ τῶν ἀναδεχομένων τοὺς δεομένους· λαμβάνεται μὲν γὰρ καὶ ἔχεται ὁ δεόμενος *οὗ δεῖται· ἀντιλαμβάνεται δὲ καὶ ἀντέχεται* οὗτος ὁ δεχόμενος καὶ ἀντεισφέρων τὴν ἀναδοχήν. παρατατικὸς ἀντειχόμην καὶ ἀντελαμβανόμην· μέλλων ἀντέξομαι καὶ ἀντιλήψομαι, ἀόριστος ἀντελαβόμην καὶ ἀντισχόμην. — ἐῆος· καλοῦ· ἀπὸ τοῦ εὖ ἐΰς, ὁ καλός· καὶ κατὰ τροπὴν τοῦ ε̄ εἰς η̄, ἠΰς· ἠΰς τε μέγας τε. γενικὴ ἐῆος ἑτεροκλίτως, ἀπὸ τοῦ ἐεὺς ἀχρήστου. — λίσαι· λίσσομαι διὰ δύο σ̄σ̄· λίτομαι τὸ αὐτὸ δι' ἑνὸς τ̄· λίσσομαι ἐνεστώς· ἐλισσόμην παρατατικός· λίσομαι μέλλων, δι' ἑνὸς σ̄· ἐλισάμην ἀόριστος, ἀφ' οὗ μέσος προστακτικὸς ἀόριστος λίσαι. — ἔφησθα· ἔφης ἐνταῦθα ἀντὶ τοῦ ἔλεγες. — ὑπελύσαο δεσμῶν· ἀντὶ τοῦ ἀπήλλαξας τῶν μελετωμένων δεσμῶν· οὐ γὰρ δεδεμένος ἦν· ἵνα τὸ ἔλυσας αὐτὸν τῶν δεσμῶν ἐφ' ἑαυτοῦ *κέηται, καὶ* κατὰ τὴν πρόχειρον *αὐτοῦ σημασίαν νοῆται.* ἤθελον γάρ, φησί, ξυνδῆσαι αὐτόν, οὐ μὴν ἔδησαν. — ἑκατόγχειρον καλέσασα· ἑκατόγχειρα τὸν ἥλιον λέγει, ὅτι πάντα τρέφει καὶ φύει καὶ αὔξει, ὥσπερ ἂν εἰ πλείσταις χερσὶν ὁμοῦ εἰργάζετο· πατὴρ δὲ αὐτοῦ ὁ Ζεύς, ἤτοι ὁ αἰθήρ· οὐ ἰσχυρότερος οὗτος τῇ ἐνεργείᾳ τῶν ἀκτίνων. Θέτις δὲ ἡ πρόνοια καὶ

3. Cod. B. αἰοπώλους. 6. Scherpezeelius e Cod. A. lacunose edidit: ὁ δεόμενος οὗτος δεχόμενος. Supplevi ex Cod. B. Apud Favor. fol. 425. rect. deest δεχόμενος. 8. Favor. l. l. ἀντισχόμην. 9. Cod. B. om. καὶ ἀντιλήψομαι. 10. Cod. A. ἀντεχόμην. Ibid. Vox ἐΰς in Cod. B. deest. cf. Favor. fol. 162. vers. 11. Cod. A. om. ἠΰς, et in seqq. habet ἐΰς et ἐές. Ibid. Iliad. β. 653. 12. Favorin. l. l. ἀπὸ τοῦ ἐὺς ἀχρήστου, ἢ ἐεύς.

13. Favorin. fol. 340. vers. λίσσομαι, τὸ παρακλῶ καὶ ἱκετεύω διὰ δύο σ̄σ̄. λίτομαι δὲ τὸ αὐτὸ δι' ἑνὸς τ̄· 16. Cod. A. in lemmate: ἀπελύσατο.

17. Cod. A. τῶν μελετωμάτων. 18. Scherpezeelius lacunose ita edidit e Cod. A.: ἐφ' ἑαυτοῦ τοὺς . . . . κατὰ τὴν πρόχειρον. ἤθελον etc. integrum locum praebuit Cod. B. Deest apud Favorinum. 22. Cod. B. ἐργάζετο.

Ibid. Cod. A. om. ὁ Ζεύς.

διοίκησις τοῦ παντὸς, ἡ τὸν ἥλιον περιάγουσα, τὴν σύγχυσιν καταστέλλει καὶ ζόφωσιν, ἣν ἂν ἐποίησαν ἐν τῷ παντὶ ἡ Ἥρα καὶ ὁ Ποσειδῶν καὶ ἡ Ἀθηνᾶ, ὁ ἀὴρ δηλονότι, τὸ ὕδωρ καὶ ἡ γῆ, ἐπικρατήσαντες καὶ ὑπερισχύσαντες τοῦ Διὸς, ἤτοι τοῦ αἰθέρος. — μνησάσα: μιμνήσκομαι ἐνεστὼς κοινός· μνώομαι ποιητικῶς, ὡς χώομαι, μώομαι·

ἀλλ' οἵγ' οὐ πολέμοιο δυσηχέος ἐμνώοντο.

μέλλων κοινὸς μὲν, μνησθήσομαι ἢ μεμνήσομαι· *ποιητικὸς δὲ μνήσομαι,* ἀπὸ τοῦ μνάομαι μνῶμαι, ὃ ἐφ' ἑτέρας ἐτάχθη σημασίας· λέγεται γὰρ ἐπ' ἀνδρὸς ὅταν γυναῖκα ἄγηται· ἀόριστος κοινὸς μὲν ἐμνήσθην, ἀπὸ τοῦ μέμνημαι· δοκεῖ δὲ τὸ σ̅ διὰ καλλιφωνίαν προστεθῆναι αὐτῷ· οὐ γὰρ φαίνεται λόγος ἕτερος καθ' ὃν αὐτὸ αὐτὸς ἔχοι· ποιητικῶς δὲ ἐμνησάμην. παρακείμενος κοινὸς μὲν μέμνημαι, ποιητικὸς δὲ μέμνωμαι, ὡς τέτρωμαι· ἀφ' οὗ τὸ μεμνέωτο πλεοασμῷ τοῦ ε̅·

ὡς μεμνέωτο δρόμου καὶ ἀληθείην ἀποείποι.

μετὰ δὲ προθέσεως καὶ ἐνεργητικῶς ταῦτα λέγεται· ἀναμιμνήσκω, ἀναμνήσω, ἀνέμνησα· καὶ ὑπομιμνήσκω, ὑπομνήσω, ὑπέμνησα· *ἃ οἱ ποιηταὶ χωρὶς προθέσεως λέγουσιν ἐπὶ τούτων τῶν σημαινομένων· μνήσω γὰρ λέγουσιν ἀντὶ τοῦ ἀναμνήσω ἢ ὑπομνήσω, καὶ ἔμνησα ἀντὶ τοῦ ἀνέμνησα ἢ ὑπέμνησα·* καὶ ἐνταῦθα, τῶν μεν μνήσασα, ἀντὶ τοῦ ἀναμνήσασα. — λάβε γούνων· ἀντὶ τοῦ λαβοῦ, ἤτοι ἅψαι. — ἐπὶ Τρώεσσιν ἀρῆξαι· τῷ ἀρῆξαι δεῖ συνάπτειν τὴν ἐπὶ,

1. Cod. AB. περιάγουσα. eandem scripturam, quam veram esse sensus demonstrat, exhibet etiam praestantissimus Codex Lipsiensis in antiquissimis in Iliadem Scholiis, in quibus nunc a Bekkero (p. 33, b. 20) vitiose editum est περιέχουσα. Scholium est Porphyrii. 2. Cod. A. ἐποίησεν. Cod. B. ἐποίησαν. Cod. Lips. ἐποιήσατο. 3. Male primus editor: ὁ ἀὴρ δῆλον τὸ ὕδωρ, etc. 6. Iliad. β'. 686. 7. Verba ποιητικὸς δὲ μνήσομαι addidi ex Cod. B. et Favor. fol. 363. rect. ubi idem Scholion, neque tamen integrum legitur. 9. Cod. B. om. γυναῖκα. 10. τὴν καλλιφ. Cod. B. 11. Cod. A. καθ' ὃν ἔχοι. Cod. B difficiliori quodam scribendi compendio sive αὐτὸ αὐτὸς ἔχοι, sive τὸ σ̅ αὐτὸς ἔχοι. 13. Cod. A. corrupte: ποιητικῶς δὲ μέ ὡς. Cod. B. τέτρωκα, et Cod. uterque μεμνέω, vitiose. 15. Iliad. ψ'. 361. 17. Quae stellulis distinxi, nunc ex Cod. B. accesserunt. 18. Verba ἐπὶ τούτων — λέγουσιν inserui ex Favorino. 22. C. B. τῷ ἐπὶ.

ἵν' ᾖ, ἐπαρῆξαι τοῖς Τρωσί· — ἔλσαι· ἀπὸ τοῦ ἐλάσαι κατὰ συγκοπήν. — ἐπαύρωνται· ἐπαυρῶ, τὸ ἀπολαύω πρὸς γενικήν. ἔστι δὲ συζυγίας πρώτης τῶν περισπωμένων· ἀφ' οὗ τὸ ἐπαυρεῖ παρὰ Ἡσιόδῳ·

πλεῖον δέ τε νυκτὸς ἐπαυρεῖ·

καὶ ἐν ἄλλοις,

πολλάκι καὶ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἐπαυρεῖ.

ἐπαυρήσομαι μέλλων·

τῷ κέν μιν ἐπαυρήσεσθαι ὀΐω.

ἐπηυρόμην μέσος ἀόριστος δεύτερος· ἀφ' οὗ τὸ ὑποτακτικὸν ἐπαύρωμαι, τὸ τρίτον τῶν πληθυντικῶν ἐπαύρωνται· ἀπαυρῶ δὲ τὸ ἀφαιροῦμαι πρὸς αἰτιατικὴν συζυγίας δευτέρας, παρατατικὸς ἀπηύρων, ὡς ἐβόων· ἀφ' οὗ ἀπηύρα·

ἄμφω θυμὸν ἀπηύρα.

καὶ ἀπηύρων ἐπὶ τοῦ τρίτου τῶν πληθυντικῶν·

τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων.

γίνεται δὲ ἀπὸ τοῦ αὔρα. ἔστι γὰρ τὸ ἀπαυρῶ μὲν, τὸ ἀνάπνευσίν τινος ἀφαιροῦμαι· ἐπαυρῶ δὲ, τὸ ἐπισπῶμαι ἀνάπνευσιν· εἶτ' ἀπὸ τούτων ἀπαυρῶ τὸ ἀφαιροῦμαι ἁπλῶς, καὶ ἐπαυρῶ τὸ ἀπολαύω. — αἰνὰ τεκοῦσα· κατὰ παράληψιν ἀντὶ τοῦ αἰνομόρως, ἤτοι ἐπὶ κακῇ μοίρᾳ τεκοῦσα· ἐπάγει γὰρ, τῷ σε κακῇ αἴσᾳ τέκον. — ἔπλεο· πέλω, ὃ οὔτε πρὸς τὸ ποιητικὸν τὸ ὑψηλὸν καὶ ἡρωϊκὸν καθαρῶς ἀποκλίνει, οὔτε ἐν τῷ πεζῷ λόγῳ θαῤῥούντως ἂν αὐτῷ χρήσαιτο τίς. ἁρμόζει γὰρ τῇ τραγικῇ ποιήσει, ἢ μεταξύ πως

2. Cod. A. τὸ ἀπολάβω. 5. Hesiod. ἔργ. 417. 6. Cod. B. καὶ ἐν ἄλλοις πολλοῖς κακοῦ ἀνδρὸς ἐπαυρεῖ. Veram lectionem suppeditarunt Cod. A. et Favorin fol. 199. vers. Hesiod. ἔργ. 240. 10. Iliad. ζ'. 353. 12. Cod. A. et Favorin. l. l. habent ἐπαυροῦ. 13. Cod. A. om. ὡς. 14. Cod. A. ἐπηύρα.

15. Iliad. ζ'. 17. 17. Iliad. ά. 430. 18. Cod. B. αὖρος. Cod. A. et Favor. αὖρα. — Cod. A. ἀμαυρῶ. 21. Loco hujus Scholii, quod deest etiam apud Favorinum, satis ampla lacuna apparet in Cod. A. Equidem e Cod. B. protraxi.

23. Cod. B. πλέω. Cod. A. om. Recte Favorin. fol. 213. vers. πέλω.

25. Favorinus l. l. τρ. ποιήσει τὸ πέλομαι· ἔστιν ὅτε etc. omissis interme-

ἐστιν ἡρωϊκῆς ποιήσεως καὶ πεζοῦ λόγου· οἱ δὲ τῇ ἡρωϊκῇ χρησάμενοι ποιήσει τῷ πέλομαι ἔστιν ὅτε χρῶνται ἐπὶ τῆς σημασίας τοῦ πέλω. κυρίως δὲ αὐτὸ ἐπὶ τοῦ γίνομαι τιθέασιν, ὡς ἐνταῦθα τὸ ἔπλεο, ἀπὸ τοῦ ἐπέλεο κατὰ συγκοπὴν, ἀντί τοῦ ἐγίνου, παρατατικὸς ἀντὶ ἀορίστου. — τερπικεραύνῳ· τερπικέραυνος, ὁ τρέπων τοὺς ἐναντίους τῷ κεραυνῷ· κατὰ μετάθεσιν τοῦ ρ. — Αἰθιοπῆας· Αἰθίοψ, καὶ κατὰ μετασχηματισμὸν Αἰθιοπεὺς, ὡς ἀπὸ τοῦ ἡγεμὼν ἡγεμονεὺς, καὶ ἀπὸ τοῦ ἡνίοχος ἡνιοχεὺς, καὶ ἀπὸ τοῦ Ἀλκαῖος Ἀλκεύς, ἀφ' οὗ Ἀλκείδης, ὁ Ἡρακλῆς· οὐ μόνον δὲ εἰς ευς, ἀλλὰ καὶ εἰς ης μετασχηματίζει πολλὰ ὀνόματα ἑτέραν ἔχοντα κατάληξιν· ὡς τὸν Πάτροκλον λέγει Πατροκλῆν· καὶ ἐφ' ἑτέρους πολλοὺς μετασχηματισμοὺς μετατίθησι τὰ ὀνόματα. ὁ Ἐτεοκλῆς δὲ λέγεται καὶ Ἐτέοκλος· ἔστι δὲ μᾶλλον ἐν χρήσει τὸ Ἐτεοκλῆς, ὡς δοκεῖν τὸ Ἐτέοκλος ἀπὸ τοῦ Ἐτεοκλῆς ἐσχηματίσθαι, οὐ τὸ ἀνάπαλιν. — χαλκοβατές. τὸ ἰσχυρὰν βᾶσιν ἔχον. ὅταν δὲ καλὸν αὐτὸ θέλει δηλῶσαι, χρυσοῦν τὸ δάπεδον αὐτοῦ λέγει. — χθιζός· ἀντὶ τοῦ χθὲς, ὡς ταχὺς ἦλθεν ἀντὶ τοῦ ταχέως. — ἀπεβήσσετο· ἀντὶ τοῦ ἀπῆλθεν. βαίνω ἐνεστὼς κοινός· ὃ δηλοῖ τὸ ἵσταμαι καὶ τὸ πορεύομαι· βήσσομαι ποιητικῶς, ὡς νείσσομαι· ἀφ' οὗ τὸ καταβήσσεο

ὄρσο πέπον, Καπανηϊάδη, καταβήσσεο δίφρων.

καὶ ἐνταῦθα τὸ ἀπεβήσσετο· βήσομαι μέλλων κοινός· καὶ ἔβην δεύτερος ἀόριστος, ὡς ἔφθην, ἀφ' ἑτέρου θέματος ἀχρήστου· οἱ ποιηταὶ δὲ καὶ ἐπιβήσω λέγουσι μετὰ τῆς ἐπὶ κατ' ἐνέργειαν, καὶ ἐπέβησα· ἐπέβησε κελεύθου, ἀντὶ τοῦ ἐπεβίβασεν. — ἐϋζώνου· ἀντὶ τοῦ πολυτελῶς ἐστολισμένης. ἀπὸ γὰρ τῆς ζώνης πάντα τὸν στο-

diis quae nostri Codd. praebent. 1. Cod. A. χρώμενοι. 9. Cod. A. Ἀλκίδης. 10. ἑτέραν deest in Cod. B. 11. Cod. A. τὸ πάτρον. — Cod. B. ἐφ' ἑτέρου. Cod. A. μετὰ ματις .... vitiose. 14. Cod. A. et Favorin. fol. 19. vers. μετασχηματίζεσθαι. 16. Cod. B. αὐτὸ λέγει. — Cod. A. ἐχθὲς.

17. Cod. A. in lemmate ἀπεβήσατο. Cod. B. ἀπεβήσετο. Favorin. fol. 65. rect. ἀπεβήσσετο. 18. Cod. A. βήσομαι. Cod. B. et Favorin. βήσσομαι et item in seqq. 20. Cod. A. vitiose: ὄρση πέποικα πανηϊάδη καταβήσεο δίφρων. Cod. B. ὄρσο πέπον καπανηϊάδης καταβήσσεο δίφρων. Iliad. ε. 109.

22. Favorin. l. l. ῥήματος. 24. Hesiod. ἔργ. 578. Ibid. Cod. A. ἀντὶ τῆς.

λισμὸν θέλει δηλοῦν. ὡς εὐκνήμιδας Ἀχαιοὺς λέγει, ἀντὶ τοῦ εὐόπλους, ἀπὸ τῶν κνημίδων πᾶσαν τὴν ὅπλισιν δηλῶν. καὶ κορύσσεσθαι ἀντὶ τοῦ ὁπλίζεσθαι, καὶ θωρήσσεσθαι ἀντὶ τοῦ αὐτοῦ· τὸ μὲν ἀπὸ τῆς κόρυθος, τὸ δὲ ἀπὸ τοῦ θώρακος. — λιμένες πολυβενθέος· διαφέρει λιμὴν ὅρμου τῷ περιέχειν καὶ περιέχεσθαι. περιέχει μὲν γὰρ ὁ λιμὴν, περιέχεται δὲ ὅρμος. ἔστι δὲ λιμὴν μὲν κόλπος θαλάττης, ταραχῆς ἀνέμων ἀπηλλαγμένος, ὅρμους ἐπιτηδείους ἔχων εἰς ὑποδοχὴν τῶν νεῶν. ὅρμος δὲ τὸ μέρος τοῦ λιμένος, εἰς ὃ ἑλκόμεναι αἱ νῆες δέδενται, ὃ οἱ κοινοὶ σκάλαν λέγουσι. ἰστέον δὲ, ὅτι εἰ μὲν ἀμφότερα ταῦτα ὁ κόλπος ἔχει, σκέπην ἀπὸ τῶν ἀνέμων καὶ ὅρμους, λιμένα αὐτὸν ὁ Ὅμηρος λέγει. εἰ δὲ θάτερον μὲν ἔχει, ὅρμων δὲ ἀμοιρεῖ, οὐκέτι λιμένα αὐτὸν λέγει, ἀλλ' ἐπιωγὰς, ὡς ἐν τούτοις δῆλον ποιεῖ·

οὐ γὰρ ἔσαν λιμένες, νηῶν ὀχοὶ, οὐδ' ἐπιωγαί·

τουτέστιν, οὔτε λιμένες ἦσαν ὅρμους δηλονότι ἔχοντες, καὶ διὰ τοῦτο κατέχειν ναῦς δυνάμενοι, οὔτε τόποι ἄνορμοι μὲν, δυνάμενοι δὲ δέξασθαι ναῦς διὰ τὴν ἀπὸ τῶν ἀνέμων σκέπην· καὶ ἡ τῆς ἐπιωγῆς δὲ παραγωγὴ δήλην τὴν τοῦ ὀνόματος ποιεῖ δύναμιν. γίνεται γὰρ παρὰ τὴν ἰωὴν τὴν πνοὴν, καὶ τὸ ἄγνυσθαι, ὃ δηλοῖ τὸ κλᾶσθαι, ὡς εἶναι δῆλον, ὅτι ἐπιωγή ἐστι τόπος, ἔνθα ἡ τῶν ἀνέμων ὁρμὴ ἐνδίδωσιν. — προτόνοισιν ὑφέντες· πρότονα καὶ πρότονοι ἀρσενικῶς, τὰ ἐκδεδεμένα τοῦ ἱστοῦ σχοινία, οἷς τείνουσιν αὐτὸν τὴν ἐναντίαν τῷ ἀνέμῳ, ἵνα μὴ ἀπὸ τῆς βίας αὐτῶν θραυσθῇ, καὶ δι'

2. Cod. B. δηλοῖ. Dedi lectionem Cod. A. et Favorin. fol. 228. rect.
3. Cod. A. θωρίσεσθαι ἐπὶ τοῦ αὐτοῦ. 5. Cod. A. τὸ περιέχειν. Favorin. fol. 339. vers. qui priora tantum hujus Scholii verba decerpsit, habet τοῦ.
8. Cod. A. ἕλκομαι. 9. Cod. A. σκλάλαν. 10. Cod. A. λιμένα αὐτὸν Ὅμηρον λέγειν. 12. Cod. A. ἐπιωγήν. 13. Cod. B. ἦσαν et om. οὐδ' ἐπιωγαί. Odyss. έ. 404. 14. Scherpezeelius edidit: ὅρμους δῆλον ἔχοντες. 18. Cod. A. ἰωγήν. Cod. B. ἰωνήν. Veram lectionem praebuit Moschopulus π. σχεδ. p. 202. ἐπιωγαὶ οἱ τόποι, ἐφ' οἷς ἄγνυται ἡ ἰωὴ, ἤγουν ἡ πνοή· ἤγουν οἱ ἀλίμενοι μὲν, δυνάμενοι δὲ δέξασθαι ναῦς διὰ τὴν ἀπὸ τῶν ἀνέμων σκέπην. cf. *Eustath.* ad Odyss. p. 1540, 26. et *Schol.* Ambrosiana p. 213. ed. Buttm. 20. Cod. A. om. καί. 21. Cod. A. ἐνδεδημένα. Cod. B. ἐκτετεμένα. *Favorin.* fol. 452. rect. ἐκδεδεμένα. Ibid. Cod. B. αὐτοί.
22. Cod. uterque et Favorin. l. l. τῷ ἀνέμῳ· sed Scherpezeelius in annota-

ὦν χαλῶσιν αὐτὸν, καὶ τῇ ἱστοδόκῃ ἁρμόζουσιν. — ἐρετμοῖς· ἐρετμὸν οὐδετέρως ἡ κώπη, ὡς παρὰ Λουκιανῷ· μέμψῃ δὲ οὐδὲν, ἣν εὐῆρες καὶ κρατερόν μοι ἐρετμὸν δῷς. — ἐκ δ' εὐνὰς ἔβαλον· εὐνὴ ἡ κοίτη, καὶ ἀπὸ τούτου κατὰ μεταφορὰν ἡ ἄγκυρα ποιητικῶς· ἐπ' αὐτῆς γὰρ εὐνάζεται ἡ ναῦς, ὥσπερ ἐπὶ κλίνης * ἄνθρωποι. διὸ ὥσπερ ἐπὶ κλίνης * κεῖσθαι λέγουσιν, οὕτω καὶ ἐπ' ἀγκύρας ὁρμίζεσθαι· — κατὰ δὲ πρυμνήσια· πρυμνήσια τὰ ἀπὸ τῆς πρύμνης σχοινία, οἷς δεσμοῦσι τὴν ναῦν ἐπὶ τῆς γῆς ἐν πέτρᾳ, ἢ τοιούτῳ τινί· τὰ αὐτὰ καὶ ἀπόγεια λέγεται. — ἐπὶ ῥηγμῖνι θαλάσσης· ἡ ἐπὶ, ὅτε κίνησιν δηλοῖ ἀπὸ τόπου εἰς τόπον, μετὰ αἰτιατικῆς λέγεται· παρὰ δὲ τῷ Ὁμήρῳ καὶ μετὰ δοτικῆς πολλάκις.

ἦλθε δ' ἐπ' Αἰάντεσσι κιών.

καὶ ἐνταῦθα, ἐξέβαινον ἐπὶ ῥηγμῖνι θαλάσσης. αἰγαλὸς κοινόν, ῥηγμὶν καὶ θὶν ποιητικῶς· λέγεται ῥηγμὶν διὰ τὸ ῥήγνυσθαι ἐν αὐτῷ τὰ κύματα. — ὄφρα ἱλασσώμεθα· ἱλάσκομαι ἐνεστώς· ἱλάσομαι μέλλων, ἱλασάμην ἀόριστος· ἃ παρὰ τοῖς κοινοῖς μετὰ τῆς ἐξ εἰσὶν ἐν χρήσει. ἀπὸ τοῦ ἱλασάμην, ὑποτακτικὸν ἱλάσωμαι, τὸ πρῶτον τῶν πληθυντικῶν ἱλασσώμεθα, προσθήκῃ τοῦ ἑτέρου σ διὰ τὸ μέτρον. — ἱερὴν ἑκατόμβην· ἑκατόμβην οἱ μὲν τὴν ἐξ ἑκατὸν βοῶν γινομένην θυσίαν λέγουσιν· οἱ δὲ, τὴν ἀπὸ εἴκοσι πέντε, ἐξ ἑκατὸν δηλαδὴ βάσεων. πέντε μὲν οὖν καὶ εἴκοσι προσήγοντο βόες, εἰς δὲ ἐσφάττετο. —

tione: „judicet lector, an non praestet legere τῶν ἀνέμων propter sequens αὐτῶν quod ad ventos pertinet." 1. Cod. B. ἱστοδόχῃ. 2. Cod. B. ἐρετμὸν εἰδώς. Locus est e Luciani Catapl. c. 19. T. I. p. 641. ed. Reiz. 5. Quae stellulis indicavi e Codice meo accesserunt. 6. Cod. B. ὅπερ. Ibid. Cod. A. ἐπ' ἀγκυρῶν. Favorin. fol. 230 vers. ἐπὶ τῶν ἀγκυρῶν. 9. Cod. B. in lemmate: ἐπὶ ῥηγμῆνι. 10. Cod. A. μετ' αἰνιγματικῆς. 12. Iliad. δ'. 273. 13. Cod. A. ῥηγμὴν καὶ θήν, ibique Scherpezeelius: „Hesychius et omnes Lexicographi ῥηγμίν. nihil mutavi, quia et mox et περὶ σχεδ. (p. 138.) eadem vox occurrat; nisi quis voluerit utroque loco mendum esse; sed forte ῥηγμὴν dixit ad formam τοῦ θήν, qua voce restituo Hesychium θὴν διὰ τοῦ η τὸ αὐτό. procul dubio dedit: θὶν, ὁ αἰγιαλός· θήν, διὰ τοῦ η τὸ αὐτό. Vel referri debent ad seq. θὶν etc."

15. Cod. B. ἱλάσσομαι. 16. Cod. B. ἀόριστος πρῶτος παρὰ τοῖς κοινοῖς. Recte Cod. A. et Favorin. fol. 272 rect. ἀόριστος, ἃ παρὰ etc. Librarius ille ά et ἃ confudit. 19. Cod. B. in lemmate: ἱερὴν ἑκατόμβην. 21. Cod. A. ἐσφάζετο.

καὶ οὐλοχύτας· οὐλοχύτας ἔλεγον τὰ κανᾶ, δι' ὧν αἱ οὐλαὶ ἐχέοντο. οὐλαὶ δέ εἰσιν αἱ κριθαί. ἐνταῦθα δὲ αἱ μετὰ ἁλῶν μεμιγμέναι κριθαὶ λέγονται ἀπὸ μέρους, ἃς ἐπέχεον τῷ βωμῷ, πρὸ τοῦ ἱερουργῆσαι τὰ ἱερεῖα. — ἴψαο· ἴπτω τὸ βλάπτω· ἀφ' οὗ κατὰ πλεονασμὸν τοῦ $\overline{α}$, ἰάπτω· μέλλων ἴψομαι·

τάχα δ' ἴψεται υἷας Ἀχαιῶν.

ἀόριστος ἰψάμην· τὸ δεύτερον ἴψαο, Ἰωνικῶς. — αὐέρυσαν· ἀνέστρεψαν τὸν τράχηλον· τοῦ ἱερείου, ἵνα ἡ κεφαλὴ ἄνω ἀφορᾷ· τοῖς γὰρ οὐρανίοις θεοῖς ὑπό τε τὴν ἕω ἔθυον ἀνατέλλοντος τοῦ ἡλίου, καὶ ἀνατρέποντες τὰς κεφαλὰς τῶν θυομένων· τοῖς δὲ καταχθονίοις τὸ ἔμπαλιν περί τε δυσμὰς ἡλίου καὶ τὰς κεφαλὰς κάτω τρέποντες τῶν ἱερείων· τὸ αὐέρυσαν ὁμοῦ δεῖ ἀναγινώσκειν. ἀπὸ γὰρ τῆς ἀνὰ προθέσεως καὶ τοῦ ἐρύειν ἐστὶ συντεθειμένον, κατὰ ἀποκοπὴν καὶ πλεονασμὸν τοῦ $\overline{υ}$, ἵνα μακρὸν τὸ $\overline{α}$ γένηται· ὡς ἀπὸ τῆς κατὰ προθέσεως καὶ τοῦ ἄξαις, τὸ κανάξαις παρὰ Ἡσιόδῳ. οἱ δὲ ἀπὸ τοῦ αὖ καὶ τοῦ ἐρύειν αὐτὸ λέγοντες, ἀγνοεῖν δοκοῦσιν, ὅτι τὸ αὖ παραπληρωματικός ἐστι σύνδεσμος, ἀντὶ τοῦ δὴ, καὶ οὐδέποτε ταὐτὸ δύναται τῷ εἰς τοὐπίσω. ἴσως δὲ τοῦτο δὴ τὸ τοῦ Ὁμήρου παρακηκοότες τινὲς τὴν ἀρχὴν παῤῥησιασθῆναι τὴν πλάνην ταύτην πεποιήκασι, τὸ δέχεσθαι τὸ αὖ ἐν τῇ αὐτῇ δυνάμει τοῦ εἰς τοὐπίσω. — κατά τε κνίσσῃ· κνίσσα, ὁ ἀναπεμπόμενος ἀτμὸς ἀπὸ τοῦ καιομένου λίπους, καὶ αὐτὸ τὸ λῖπος, ἀφ' οὗ ὁ ἀτμός· ἐνταῦθα τὸ δεύτερον. — πεμπώβολα· ὄργανά τινα σιδηρᾶ, χειρὶ ὅμοια ὀρθίους ἐχούσῃ τοὺς δακτύλους, ὡς καὶ αὐτὸ τοὔνομα δηλοῖ· πεμπώβολα γὰρ λέγεται Αἰολικῶς, ὅτι κατὰ τὸ ἄκρον εἰς πέντε ὀβολοὺς ἕκαστον δηή-

---

1. Cod. B. et Favorin. fol. 399 vers. τὰ κανὰ. 2. Cod. A. ἐπι . . . . parva lacuna. 4. Cod. B. ἱερῆα. 5. Cod. A. μέλλων ἰάψομαι, ἴψομαι. Primum deest in Cod. B. et apud Favorin. fol. 279. vers. 6. Iliad. β'. 193.

10. Codd. AB. et Favor. fol. 90. vers. ἀνατρέποντες. Scherpezeelius edidit ἄνω τρέποντες. 12. Cod. B. τῶν ἱερήων. Ibid. Cod. A. τὸ δὲ α . . . . . ὁμοῦ δεῖ ἀναγινώσκειν ἀπὸ τῆς κατὰ προθέσεως καὶ τοῦ αὔξαις τὸ κανάξαις. Quae primus editor animadvertit ex Favorino supplenda et emendanda esse. Cod. B. αὔξαις. 15. Hesiod. ἔργ. 691. 19. τινὲς deest in Cod. B.

21. Cod. B. in lemmate: κνίσῃ.

ρηται· ὥσπερ δὲ ὄφελος μέν ἐστι μικρὸν, ὠφελεία δὲ μέγα καὶ ἐπωφελὴς, οὕτω καὶ ὀβελὸς μικρὸν, πεμπώβολα δὲ μέγα. * τρέπεται δὲ καὶ τὸ ε̄ εἰς ο̄ ἐν τῇ παραγωγῇ, ἔξω συνήθους ἀκολουθίας· * ἡ γὰρ συνήθεια ἐπὶ τῶν ὀνομάτων τοῦτο οἶδε τῶν ἀπὸ ῥημάτων παραγομένων. ἔστι καὶ ἄλλως ἡ λέξις ποιητική. — καῖε· κάω ἐνεστὼς, καὶ καίω· τὸ μὲν Ἀττικὸν, τὸ δὲ καίω κοινόν. ἔκαον παρατατικὸς καὶ ἔκαιον· καύσω μέλλων· ἔκαυσα ἀόριστος κοινὸς, ἔκηα δὲ ποιητικὸς, ὡς ἔχεα· πλὴν ὅτι τὸ ἔκηα αὔξει τὴν παραλήγουσαν, ὡς τὸ ἔφηλα. παθητικὸς κάομαι ἢ καίομαι ἐνεστὼς, ὃ ἐνίοτε μὲν τὸ ἀνάπτεσθαι δηλοῖ καὶ ἐκπυροῦσθαι, καθὸ λέγεται πῦρ καίεσθαι. ἐνίοτε δὲ τὸ ὑπὸ πυρὸς φθείρεσθαι, καθὸ λέγεταί τι πυρὶ καίεσθαι· ἐκαόμην παρατατικὸς ἢ ἐκαιόμην. καυθήσομαι μέλλων καὶ καήσομαι· ἐκαύθην ἀόριστος καὶ ἐκάην· κέκαυμαι παρακείμενος. — ἐπάσαντο· δαίνυμαι ἐνεστὼς ἀφ' ἑτέρου ῥήματος ταὐτὸ δυναμένου· τούτου γὰρ ὁ ἐνεστὼς οὐκ ἔστιν ἐν χρήσει· παρατατικὸς ἐδαινύμην· μέλλων πάσομαι· ἀόριστος ἐπασάμην· παρακείμενος πέπασμαι, ἀφ' οὗ τὸ πεπᾶσθαι· καὶ ταῦτα μὲν εἰσι ποιητικά· κοινὰ δὲ ταὐτὸ δυνάμενα, ἐνεστὼς βιβρώσκω ἢ ἐσθίω· παρατατικὸς ἐβίβρωσκον καὶ ἤσθιον· μέλλων φάγομαι· ἀόριστος ἔφαγον· παρακείμενος βέβρωκα. — περιέπειραν· περιπείρω ἐνεστώς· περιέπειρον παρατατικός· περιπερῶ μέλλων· περιέπειρα ἀόριστος· παθητικὸς περιπείρομαι ἐνεστὼς, περιεπειρόμην παρατατικός· περιπαρήσομαι μέλλων· περιεπάρην ἀόριστος· περιπέπαρμαι παρακείμενος· — ὠπτήσαν τε· ὀπτάω ὀπτῶ,

2. Verba τρέπεται δὲ — ἀκολουθίας desunt in Cod. A. quae nunc e Cod. meo accesserunt. Deest hoc Scholion apud Favorinum. 4. Cod. A. ἀπὸ ῥημάτων τούτων. 5. Cod. B. ποιητικῶς. 7. Cod. B. ἔκαια. vitiose.

9. Cod. B. παθητικά. Cod. A. παθητικῶς. 10. Cod. A. ἔσταότε, nullo plane sensu. voluit ἔστ' ὅτε. 11. Cod. A. λέγεται τὸ πυρὶ καίεσθαι. 12. Cod. A. ἢ καὶ ἐκαιόμην. Deest hoc Schol. apud Favorin. 14. Cod. A. τοῦτο γὰρ ὁ ἐνεστώς· quod Scherpezeelius refingere voluit in τούτῳ· ὁ γὰρ ἐνεστώς. et ita locum exhibet Favorinus fol. 199 vers. Equidem Cod. mei lectionem retinui.

16. Faoorin. l. l. ὁ μέσος ἀόριστος ἐπασάμην. 17. Cod. A. ταυτοδύναμα. 18. Favorin. l. l. βιβρώσκω τὸ ἐσθίω. 20. Cod. B. περιπαρῶ.

21. Cod. B. παθητικά. 23. Cod. B. in lemmate: ὄπτησαν. et statim ὀπτέω.

συζυγίας δευτέρας τῶν περισπωμένων, ὃ παρὰ τοῖς Ἀττικοῖς ἀπανθρακίζω λέγεται· ὤπτων παρατατικός· ὀπτήσω μέλλων· ὤπτησα ἀόριστος· τὸ τρίτον τῶν πληθυντικῶν ὤπτησαν. — τετύκοντο· τεύχω ἐνεστώς· ἔτευχον παρατατικός· τεύξω μέλλων· τέτευχα παρακείμενος· ἔτευξα ἀόριστος πρῶτος· ἔτυχον δεύτερος, ἐφ' ἑτέρας σημασίας· ἐτυκόμην δὲ ποιητικῶς ἐπὶ τῆς τούτου σημασίας, καὶ κατὰ ἀναδιπλασιασμὸν ἐτετυκόμην· τὸ τρίτον τῶν πληθυντικῶν ἐτετύκοντο· παθητικὸς τέτευγμαι παρακείμενος, καὶ ἐκβολῇ τοῦ ε, τέτυγμαι· ἐτετύγμην ὑπερσυντελικός· ἐτύχθην ἀόριστος. καὶ ταῦτα μέν εἰσι ποιητικά· κοινὰ δὲ ἐν τῇ σημασίᾳ τοῦ ἔτυχον, τυγχάνω ἐνεστώς· ἐτύγχανον παρατατικός· τεύξομαι μέλλων, ἔτυχον ἀόριστος· τετύχηκα παρακείμενος. — ἐΐσης· ἀεὶ τροφὴν ἴσην λέγει τὴν ἐν τῇ κοινῇ τραπέζῃ· αὕτη γὰρ ἔχει κυρίως τὸ ἴσον, πᾶσιν ὁμοῦ προκειμένη ἰσοτίμως. — ἐξ ἔρον ἕντο· ἵημι, ἥσω, ἧκα· ὁ δεύτερος ἄχρηστος· ὁ μέσος ἕμην ἐν χρήσει * μετὰ τῆς πρὸ προθέσεως, οἷον, προέμην, ἀφ' οὗ προέμενος· καὶ μετὰ τῆς ἀπὸ ἀφέμενος· καὶ προείμην καὶ πρόειτο· τὸ τρίτον τῶν πληθυντικῶν ἕντο, καὶ * μετὰ τῆς ἐξ, ἐξέντο ποιητικῶς, ἀντὶ τοῦ ἀφῆκαν· ὁ μέσος ἀόριστος ἀντὶ τοῦ ἐνεργητικοῦ· καὶ ἡ ἐξ ἀντὶ τῆς ἀπό· λέγεται μὲν οὖν τὸ ἀφίημι ἀντὶ τοῦ ἐῶ καὶ ἀπολύω· οἷον, ἀφίημί σε ἐλεύθερον· καὶ ἀντὶ

---

1. Cod. A. ὃ παρὰ τοῖς ποι Ἀττικοῖς, unde Scherpezeelius dedit ὃ παρὰ τοῖς ποιηταῖς Ἀττικοῖς. *Eustath.* p. 135, 26. Ἀττικοὶ δὲ ἀπανθρακίζειν τὸ ὀπτᾶν λέγουσιν, ὡς δηλοῖ καὶ ὁ κωμικός. Cod. B. et Favorin. fol. 542. rect. om. ποιηταῖς. 5. πρῶτος om. Cod. A. — ἀφ' ἑτέρας Cod. B. 6. ἐπὶ τῆς τούτοις Cod. A. ἐπὶ τῆς τοιαύτης Scherpezeelius. ἐπὶ τῆς τούτου praebent Cod. B. et Favorin. fol. 498. vers. 8. Post ἐτετύκοντο Favorini exemplar haec habuit: καὶ τετύκοντο· αἱ ἀναδιπλώσεις τῶν δευτέρων ἀορίστων Ἰώνων εἰσί. Ibid. Cod. A. καθητικὸν. Cod. B. παθητικά. Favorin. l. l. recte παθητικὸς. 9. Cod. A. ἐτετύκην. 11. Cod. A. τεύξω. male. 12. Cod. B. ἀεὶ τροφὴν ἀεὶ λέγει. Cod. A. ἴσην ἀεὶ τροφὴν λ. 14. Cod. A. ὁ μέλλων ἥσω. et statim deest vox ἄχρηστος, et paulo post ea omnia, quae nunc e Codice meo inserui. Leguntur ea etiam apud Favorinum fol. 194, vers. 15. Cod. B. μετὰ τῆς προθέσεως. Favorin. l. l. μετὰ προθέσεως. Correctionem meam sequentia confirmant. 18. ἀόριστος deest in Cod. A. et apud Favorin. 19. Cod. A. om. τῆς. 20. Cod. A. om. alterum καί.

τοῦ καταλείπω· οἷον, ἀφίησί τις τοῖς ἑαυτοῦ παισὶν ἐν διαθήκαις τόδε· καὶ ἀντὶ τοῦ πέμπω· οἷον, ἀφίημι βέλος. καὶ ἀντὶ τοῦ καταγινώσκων τί τινος, ἢ εἰργόμενος ὑπό τινος καταλιμπάνω αὐτό· οἷον, ἀφίημι τὴν τῶν λόγων σπουδήν· εἴργουσι γάρ με τὰ πράγματα· καὶ, ἀφίημι τὴν ἐπιθυμίαν τῆς τροφῆς, οὐκέτι θέλων δηλονότι δουλοῦσθαι αὐτῇ, ἅτε ἐκπάθειαν ἐχούσῃ. ἐνταῦθα δὲ τὸ ἀφῆκαν οὐ κατὰ τοῦτο λαμβάνεται τὸ σημαινόμενον, ἀλλ' ἀντὶ τοῦ ἐπλήρωσαν. λέγεται ποιητικῶς ἐπὶ ταύτην τὴν σημασίαν μετενηνεγμένον, ἐγγὺς κατά τινα τρόπον οὖσαν. καὶ ἔχει ὁ λόγος οὕτως· ἐπεὶ ἐπλήρωσαν τὴν ἐπιθυμίαν τῆς πόσεως καὶ τῆς τροφῆς· σύνηθες δὲ κατὰ λόγον ἐπὶ τῶν ἤδη ἀπολελαυκότων τινὸς οὗ ἐπεθύμουν, τὸ πεπληρωκέναι λέγειν αὐτοὺς τὴν ἐπιθυμίαν. προηγεῖται γὰρ τῆς ἀπολαύσεως ἡ ἐπιθυμία· ὁ οὖν ἀπολελαυκὼς ἔχων ἤδη ὃ ἐπεθύμει, πεπλήρωκε δηλονότι τὴν ἐπιθυμίαν. ἐπεὶ δὲ δύο ἐν τῇ ἀπολαύσει θεωρεῖται, ὡς καὶ ἐν ταῖς ἄλλαις πράξεσι, κίνησις καὶ ἠρεμία, διττῶς ἐξ ἀνάγκης λέγεται καὶ τὸ πληρῶσαι τὴν ἐπιθυμίαν τινός. λέγεται μὲν γὰρ καὶ ὅτε ἤδη ἀπολαύει τις, ὡς ἐν τούτοις·

τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου·

ἤγουν καὶ ταῦτα τούτων πάντες ἐθέλουσι μᾶλλον πληρῶσαι τὴν ἐπιθυμίαν, ἤτοι ἐν ἀπολαύσει γενήσεσθαι, ἢ τοῦ πολέμου· καὶ ὅτε ἤδη κορεσθήσεται καὶ ἱκανῶς ἔχει τῆς ἀπολαύσεως, καθὸ λέγεται ἐνταῦθα· ἔνθα καὶ κυριώτερον λέγεται, ἐπεὶ ἕως ἂν κορεσθῇ τις, οὔπω διόλου τὴν ἐπιθυμίαν ἐπλήρωσεν. — ἠριγένεια· ἦρ τὸ ἔαρ κατὰ συνα-

2. Cod. A. ἀφίησι βέλος. Cod. B. et Favorin. ἀφίημι. 3. Cod. A. καταγινώσκων τινὸς. Cod. B. καταγινώσκων τὶ τινὸς. Favorin. ἀναγινώσκων τὶ τινὸς. Scripserim: καταγινώσκων τινὰ τινὸς. Ibid. Favorin. ἢ εἰργασμένος. 4. Cod. A. vitiose: τοῦ λόγου, et μετὰ πραγμάτων. 6. Codd. AB. δηλοῦσθαι. Veram lectionem praebuit Favorinus. Ibid. ἐμπάθειαν Favorin. 7. Cod. B. ἐφῆκαν. 9. Scherpezeelius: μετηνεγμένον. 10. Cod. B. ἐπλήρωσε. 11. Cod. A. ἀπολευκότων. vitiose. 12. Cod. B. προεῖται. 13. Codd. AB. ὃ. Scherpezeelius οὗ. 14. Cod. A. om. δὲ. 15. Cod. A κίνηδος. Scherpezeelius: κινηθμός. 17. Verba τῶν πέρ τις — πολέμου in Cod. B. desiderantur. 21. Cod. B. εἴτε ἐν ἀπολαύσει. 24. Cod. B. κατὰ συγκοπήν.

λοιφήν· ὠνόμασται δὲ ἔαρ παρὰ τὸ ἀήρ. ἀναλογεῖ γὰρ τῷ ἀέρι τὸ ἔαρ, θερμὸν καὶ αὐτὸ καὶ ὑγρὸν ὄν, ὥσπερ ὁ ἀήρ. ἐπειδὴ καὶ ὁ ὄρθρος ἀναλογεῖ τῷ ἔαρι, ἦρ λέγεται καὶ οὗτος, ἀφ' οὗ ἠριγένεια ἠώς, ἣν τινες μὲν λέγουσι δηλοῦν τὴν τὸν ὄρθρον γεννῶσαν, ἕτεροι δὲ τὴν ὑπὸ τοῦ ὄρθρου γεννωμένην· ἔοικε μὲν οὖν ἡ τοιαύτη παραγωγὴ παθητικῶς ἀεὶ λέγεσθαι· Ἀφρογένεια γὰρ ἡ Ἀφροδίτη λέγεται οὐχ ὅτι ἀφρὸν ἐγέννησεν, ἀλλ' ὅτι ὑπὸ ἀφροῦ ἐγεννήθη. καὶ Κυπρογένεια ἡ αὐτὴ, ὅτι ἐν τῇ Κύπρῳ γεγέννηται· εἰ δὴ τοῦτο κρατεῖ, οὐκ ἂν εἴη δηλονότι ἠριγένεια ἡ τὸν ὄρθρον γεννῶσα, οὐ μέντοι οὐδ' ἡ ὑπὸ τοῦ ὄρθρου γεννωμένη· οὐ γὰρ ὁ ὄρθρος γεννᾷ τὴν ἡμέραν, οὐδὲ ἔχει τοῦτό γε λόγον· οὐ γὰρ εἰ δάκτυλος φανείη πρότερον, εἶτα τὸ λοιπὸν σῶμα, ὁ δάκτυλος γεννᾷ τὸ σῶμα, ἐπεὶ δὴ πρότερος ἐφάνη· δοκεῖ δὲ μᾶλλον δηλοῦν τὸ ὄνομα τὴν μετὰ τὸν ὄρθρον γεννωμένην· καθὰ Κυπρογένεια ἡ Ἀφροδίτη λέγεται, οὐχ ὅτι τὴν Κύπρον ἐγέννησεν, ἢ ὑπὸ τῆς Κύπρου ἐγεννήθη, ἀλλ' ὅτι ἐν ταύτῃ γεγέννηται· ἐπειδὴ δὲ καὶ τὸ αἷμα ἀναλογεῖ τῷ ἔαρι, ἤδη καὶ τοῦτό τινες ἦρ ἐθάῤῥησαν εἰπεῖν. — ἱστὸν στήσαντο· παρετυμολογεῖ κἀνταῦθα, ὡς καὶ ἐν τῷ, τέμενος τάμον, καὶ νῆα νηήσασθαι. — διαπρήσσουσα· περῶ, περάσω, πρήσω· καὶ ἀπὸ τούτου ἐνεστὼς πρήσσω, διὰ δύο σσ, ὡς βήσσομαι· ἀφ' οὗ τὸ διαπρήσσουσα. λέγεται μὲν οὖν τοῦτο ἐπὶ θαλάττης κυρίως· ἀπὸ τούτου δὲ καὶ ἐπὶ ξηρᾶς· διέπρησσον πεδίοιο· καὶ ἔτι ἐπὶ χρόνου·

ἤματα δ' αἱματόεντα διέπρησσον,

---

2. Cod. A. ἐπειδὴ δὲ. Cod. B. ἐπεὶ δὲ. Favorin. fol. 252 vers. ἐπειδὴ. 3. Cod. A. τῷ ἀέρι. 4. Favorin. l. l. δηλοῦν τὸν ὄρθρον γεννῶσα. 6. Cod. A. ἀφρογένεια δὲ. Favorin. l. l. γὰρ, quod recepi. Neutrum adest in Cod. B. 9. Scherpezeelius: οὐκ ἂν εἴη δῆλον ἡ ἐριγένεια. 10. Cod. A. οὐδ' ἠποῦ ὄρθρου. vitiose. Post vocem γεννωμένη Favorinus omisit omnia quae in nostris Codd. leguntur, usque ad καθὰ Κυπρογένεια etc. 11. Cod. A. οὐ γὰρ ὁ δάκτυλος. 13. Cod. A. δοκεῖ δὴ. 15. Favorin. l. l. ἀπὸ. 16. Cod. A. ἐπεὶ δὲ. Desunt haec ultima apud Favorin. 17. Deest lemma in Cod. B. 18. Cod. A. ὡς καὶ ἐνο... Scherpezeelius dedit: ὡς καὶ ἐν τούτοις: — Iliad. ζ'. 194. ι. 279. Cod. B. νήσασθαι. 19. Cod. A. in lemmate: κέλευθον. Favorin. fol. 141. 1. κέλευθα. — Cod. A. om. καὶ πρήσω. 20. Cod. A. βήσομαι et διαπρήσσωσιν. 22. Iliad. γ'. 14. 23. Iliad. ι. 326.

ἀντὶ τοῦ διετέλουν. — ὑπὸ δ' ἕρματα μακρά· [Πορφυρίου.] ἕρματά τινες ἐξηγοῦνται τὰ ὑπερείσματα, οὐκέτι δὲ * πόθεν γέγονε λέγουσιν· ἀπὸ γὰρ τοῦ ἐνεῖρθαι καὶ ἐνερηρεῖσθαι τῇ γῇ γέγονεν. οὕτω γοῦν καὶ τὰ ἐλλόβια ἕρματα εἴρηται * παρὰ τὸ ἐνεῖρθαι·

ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι.

καὶ ἑρμῆς ὁ κλινόπους, τὸ οἷον ἕρμα καὶ ἐρηρεισμένον κατὰ γῆς· καὶ,

ἡμεῖς δ' ἕρμα πόληος ἀπέκταμεν,

τὸ ἔρεισμα καὶ θεμέλιον, ἐκ τοῦ ἐνερηρεῖσθαι τῇ γῇ· καὶ ὅρμος δὲ, ὁ περιδέραιος κόσμος· χρύσεον ὅρμον ἔχων· εἶτ' ἐτυμολογεῖ, μετὰ δ' ἠλέκτροισιν ἔερτο. — ἐσκίδναντο· σκεδάννυμαι κοινόν· σκίδναμαι ποιητικόν· ὃ καὶ χωρὶς τοῦ σ λέγεται·

ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν.

πωλέσκετο· πωλῶ διὰ τοῦ ω μεγάλου κατ' ἀκολουθίαν Ἀττικήν. ἀφ' οὗ πωλέσκομαι Ἰωνικῶς, ὡς ζωέσκω, φθινυθέσκω, ἐχέσκω, ποθεέσκω· ὁ παρατατικὸς πωλεσκόμην, χωρὶς αὐξήσεως κατὰ τὴν τῶν Ἰώνων συνήθειαν· τὸ τρίτον πωλέσκετο. — ἴσαν· ἀπὸ τοῦ εἶμι, ἐπὶ τοῦ παρατατικοῦ. — Θέτις δ' οὐ λήθετο· λήθομαι ποιητικόν, ἐπιλανθάνομαι κοινόν· καὶ λήθω ἕτερον καὶ λανθάνω, καὶ μετὰ μετοχῆς, λανθάνω ποιῶν τόδε, καὶ ἔλαθον κλαπεὶς, ἀντὶ τοῦ λανθάνω ἐμαυτόν, καὶ ἔλαθον ἐμαυτόν. τὰ γὰρ μεταβατικὰ ὅτε μὴ ἔχει ὅποι μεταβήσεται, εἰς τὸ ἐνεργοῦν πρόσωπον ἐξ ἀνάγκης ἐπαναστρέφει.

---

1. Cod. A. *Πορφύριος ἕρματα ἐξηγεῖται.* Cod. B. et Favorin. fol. 219. Porphyrii nomen omittunt, *ἐξηγοῦνται* exhibentes et *λέγουσιν*, quae sine dubio vera scriptura est. Grammatici enim nomen, cujus verba transscripserat Moschopulus, h. l. ut supra ad. v. 104. e nota marginali in textum irrepsisse, docent Scholia Veneta (p. 38, b, 48. Bekk.), in quibus eadem verba sub Porphyrii nomine leguntur.

2. *τινὲς* deest in Codd. nostris et apud Favorinum. Ibid. Scherpezeelius e Cod. A. edidit: *οὐκ ἔτι δὲ παρὰ τὸ ἐνεῖρσθαι* (sic) omissis iis omnibus, quae nunc inter verba *οὐκέτι δὲ* et *παρὰ* e Codice B. inseruimus. 5. Cod. B. *αὐτοτρήτοισι.* Iliad. ξ'. 182. 7. Odyss. φ'. 121. Favorin. l. l. *ἐπέκταμεν.*

8. Schol. Venet.: *ἐκ τοῦ ἐρηρεῖσθαι ἐν τῇ ἕρᾳ.* Ibid. Cod. A. *ἕρμος.*

9. Odyss. ό. 459. 10. Cod. B. *σκεδάνυμαι.* 12. Iliad. θ'. 1.

14. Cod. B. *θηνυθέσκω.* Veram scripturam praebuerunt Cod. A. et Favorin. fol. 458 rect. 20. Verba: *καὶ ἔλαθον ἐμαυτόν* desunt in Cod. B. Ibid. Favorin. fol. 337. *ὅπου.*

οἷον, μεθῆκα εἰς τὴν θάλασσαν, ἐμαυτὸν δηλονότι. καὶ ἡδονῇ δίδωμι, ὁμοίως. — ἐφετμέων· τὸ ἐφίεμαι λέγεται μὲν ἀντὶ τοῦ ἐπιθυμῶ, ὃ καὶ παρὰ τοῖς κοινοῖς ἐν χρήσει· λέγεται δὲ καὶ ἀντὶ τοῦ ἐντέλλομαι ποιητικῶς· ἀφ' οὗ ἐφετμὴ, ἡ ἐντολή. — ἠερίη· ὀρθρινή, κατὰ πλεονασμὸν τοῦ ε̅. — εὐρύοπα. ἡ εὐθεῖα κοινὴ μὲν εὐρύοψ, ποιητικὴ δὲ εὐρύοπα, ἀπὸ τῆς αἰτιατικῆς μετασχηματισθεῖσα, ὡς καὶ ἀκάκητα· ἀκάκης γὰρ, ἀκάκητος, ἀκάκητα, ἀφ' οὗ ὁ ἀκάκητα. ὁ ἠχέτα δὲ, καὶ ὁ κυανοχαῖτα, καὶ ὁ μητιέτα, καὶ ὁ νεφεληγερέτα ἀπὸ κλητικῆς ταῦτα πάντα σχηματίζεται, οὐκ ἀπὸ αἰτιατικῆς. διὸ καὶ παροξύνεται ταῦτα, ἢ προπερισπᾶται κατὰ τὰς κλητικὰς, ἀφ' ὧν γίνονται. ὁ εὐρύοπα δὲ καὶ ὁ ἀκάκητα προπαροξύνεται· καὶ αἰτιατικαὶ γὰρ, ἀφ' ὧν γίνονται, προπαροξύνονται. — Κρονίονα· τὸ Κρονίων ἐνίοτε μὲν μακρὸν ἔχει τὸ ι̅· τοῖσι δ' οὐρανόθεν μέγ' ἐπήγαγε πῆμα Κρονίων. ἐνίοτε δὲ βραχὺ, ὡς ἐνταῦθα· ὅτε μὲν οὖν μακρὸν αὐτὸ ἔχει, διὰ τοῦ ο̅ μικροῦ κλίνεται, ὡς Μαχάονος, Ὑπερίονος· ὅτε δὲ βραχὺ, διὰ τοῦ ω̅ μεγάλου, ὡς Εὐρυτίωνος. — ἐμπεφυυῖα· ἐμφύομαι, τὸ δυςαποσπάστως προςπλέκομαι, οὗ ὁ μέλλων ἐμφύσομαι, μέσος παρακείμενος ἐμπέφυα· ἀφ' οὗ ἐμπεφυὼς καὶ ἐμπεφυυῖα. — καὶ εἴρετο· ἔρομαι κοινῶς τὸ ἐρωτῶ. εἴρομαι ποιητικῶς κατὰ πλεονασμὸν τοῦ ι̅· ἀπὸ μὲν οὖν τοῦ ἔρομαι ἠρόμην δεύτερος ἀόριστος διὰ τὸ η̅. ἀπὸ δὲ τοῦ εἴρομαι εἰρόμην παρατατικὸς διὰ διφθόγγου, ἐν σημασίᾳ ἀορίστου, κατὰ τὴν ποιητικὴν συνήθειαν. — ἐφήσεις· ἐφίημι, τὸ εἰς ἐπιθυμίαν ἐμβάλλω, καὶ ἐν ἐφέσει ποιῶ, ὡς τέρπω, τὸ τέρπεσθαι ποιῶ. καὶ ἥδω, τὸ εὐφραίνεσθαι ποιῶ. ἃ ἀπὸ τῶν παθητικῶν λαμβάνει τὴν ἑρμηνείαν ἀντιστρόφως τοῖς ἄλλοις· ἐπὶ μὲν γὰρ τῶν ἄλλων τὰ παθη-

---

2. ἐφετμέων. Favorin. fol. 235. rect. 4. ἠερίη. Favorin. fol. 245. rect. 6. Cod. B. et Favorin. fol. 232. rect. εὐρύοψ. cf. Etym. M. 396, 53. Cod. A. εὐρύωψ. Ibid. Cod. A. ποιητικὸν. Cod. B. ποιητικῶς. Favor. ποιητική· 8. Iliad. π'. 285. Hesiod. ἔργ. 580. Iliad. ξ'. 390. 9. Cod. A. ἀπὸ τῆς κλ. Ibid. post σχηματίζεται verba οὐκ ἀπὸ — προπερισπᾶται in Cod. B. desiderantur. 14. Hesiod. ἔργ. 242. 17. Favorin. fol. 182. vers. τὸ δυςαποστάτως προςπλέκομαι. Cod. B. πλέκομαι. 21. Favorin. fol. 167. rect. διὰ τῆς ει̅ διφθόγγου.

τικὰ ἀκολουθεῖ τοῖς ἐνεργητικοῖς, καὶ πρότερά εἰσι τὰ ἐνεργητικά. ἐπὶ δὲ τούτων τὰ παθητικὰ δοκεῖ πρότερα ὑφίστασθαι, εἶτα κατὰ τὴν σημασίαν αὐτῶν ἀνακύπτειν ὕστερον τὰ ἐνεργητικά. πρότερον γὰρ ἐφίεμαι, τὸ ἐπιθυμῶ· εἶτα ἐφίημι ἕτερον, ἤτοι ἐφίεσθαι ποιῶ. καὶ τέρπομαι ἐγώ, εἶτα καὶ τέρπω ἕτερον. καὶ ἥδομαι, εἶτα καὶ ἥδω ἕτερον. καὶ ἁπλῶς ὅσα παθητικὰ τῇ φωνῇ καὶ τῇ δυνάμει μὴ κατὰ μετάβασιν λέγεται, ἔχει δὲ ἐνεργητικὰ, τὸν αὐτὸν τούτοις τρόπον ἅπαντα ἔχει. ἔστι μὲν οὖν ἐφίημι τὸ ἐφίεσθαι ποιῶ, καὶ ἀπὸ τούτου τὸ διεγείρω. λέγεται δὲ τὸ ἐφίημι καὶ ἀντὶ τοῦ ἐνδίδωμι, καὶ ἀντὶ τοῦ ἐπιβάλλω·

* ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω,

ἀντὶ τοῦ ἐφῶ, ἤτοι ἐπιβάλλω.* ἐν δὲ τῷ,

Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω,

τὸ ἐφήσω ἀντὶ τοῦ ἐντολὰς αὐτῇ δοὺς πέμψω λέγεται, ἀπὸ τοῦ ἐφίεμαι, τὸ ἐντέλλομαι. — ἀπόστιχε· στείχω ἐνεστώς· ἔστειχον παρατατικὸς διὰ διφθόγγου· ἔστιχον δεύτερος ἀόριστος διὰ τοῦ ῑ. καὶ μετὰ τῆς ἀπὸ, ἀπέστιχον· ἀφ' οὗ προστακτικὸν, ἀπόστιχε. — κρατός· ἀπὸ τοῦ κράατος κατὰ κρᾶσιν κρατὸς, * διὸ μακρὸν ἔχει τὸ ᾱ· ὡς ἄτη. ἀπὸ τοῦ ἀάτη, ὃ κατὰ πλεονασμὸν τοῦ ῡ αὐάτην ἐστὶν ὅπου ὁ Πίνδαρος λέγει· ὀξύνεται δὲ τὸ κρατὸς, * ὡς τὸ οἰός. διατί δὲ τὸ μὲν λᾶος, τὸ ἦρος, τὸ κῆρος οὐκ ὀξύνεται, ταῦτα δὲ ὀξύνεται; ἴσως μιᾶς ἀκολουθίας ἀπαιτούσης αὐτὰ προπερισπᾶσθαι, διὰ τὸ δυνάμει τρισύλλαβα εἶναι, ἑτέρας δὲ, ὀξύνεσθαι, διὰ τὸ ἐνεργείᾳ δισύλλαβα εἶναι, καὶ εἰς ος λήγοντα· ἐπὶ μὲν τῶν, ἐπεκράτησε τὸ τῆς ἑτέ-

2. Cod. A. et Favorin. fol. 235. πρότερον. Cod. B. πρότερα. 3. τὰ deest in Cod. A. 6. Cod. A. παθητικῶς. Vitiose Favorinus: καὶ τῇ δυνάμει κατὰ μετάβασιν λέγει. 7. Cod. A. om. τούτοις. 11. Quae stellulis distinximus e Cod. nostro addidimus. 13. Iliad. ώ. 117. 14. Scherpezeelius edidit: πέμψω. λέγεται ἀντὶ τοῦ ἐφίεμαι καὶ ἐντέλλομαι. prava interpunctione et addito καὶ locum corrumpens. Pejus etiam Favorinus: λέγεται καὶ ἀπὸ τοῦ ἐφίεμαι τὸ ἐντέλλομαι. 17. Favorin. fol. 73. rect. in fine addit: ἀπόστιχε, ἤγουν ἀπαλλάσσου, ἀναχώρει. 18. Totus hic locus, quem stellulis indicavimus, deest in Cod. A. et apud Scherpezeelium. Legitur quidem, sed mutilatus apud Favorinum fol. 318, rect. 20. Pind. Pyth. II. 28. III. 24. 23. Cod. B. τρισύλλαβον.

ρας. τὸ δὲ κρατὸς καὶ ἀμφοτέρους τοὺς λόγους ἔχει. ἐπὶ μὲν γὰρ τῆς γενικῆς τῶν ἑνικῶν ὀξύνεται, κατὰ τὴν ἀκολουθίαν τοῦ οἰός· ἐπὶ δὲ τῆς γενικῆς τῶν πληθυντικῶν παροξύνεται, ὡς τὸ λάων. — ἐλέλιξεν· ἑλίσσω, ἑλίξω, καὶ κατὰ ἀναδιπλασιασμὸν, ἐλελίξω. ὁ ἀόριστος ἐλέλιξα. οὐχ ὡς ἔτυχε δὲ τῇ ἐπαναδιπλώσει ἐνταῦθα χρῆται, ἀλλὰ διὰ ταύτης ταχεῖαν τὴν τοῦ Ὀλύμπου κίνησιν ἐμφαίνειν βούλεται. ὡς καὶ ἐν ἄλλοις πολλὴν καὶ κατεσπουδασμένην δέησιν ἐνδείξασθαι βουλόμενος, πρόθεσιν ὅλην ἐπαναλαμβάνει·

οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων,
προπροκυλινδόμενος πατρὸς Διός.

— διέτμαγεν· τμήγω, τμήξω, ἔτμηξα, ἔτμαγον· λέγεται δὲ κατὰ μεταφορὰν ἀπὸ τῶν τεμνομένων σωμάτων. τμήγω γὰρ καὶ τέμνω ταὐτὸν, πλὴν ὅτι τὸ μέν ἐστι ποιητικὸν, τὸ δὲ τέμνω κοινόν. — ἆλτο· ἅλλομαι, ἀλοῦμαι, ἡλάμην, ἥλατο, ἅλατο Ἰωνικῶς, καὶ κατὰ συγκοπὴν ἆλτο. διὸ καὶ ψιλοῦται, ὡς ὄπατρος, ὁ ὁμόπατρος. — ἠγνοίησεν. ἀγνοῶ, καὶ πλεονασμῷ τοῦ ῑ, ἀγνοιῶ. ὡς ἀπὸ τοῦ ἀλοῶ, τὸ τύπτω, ἀλοιῶ, ἀφ' οὗ τὸ ἀλοίᾳ·

πολλὰ δὲ καὶ γαῖαν πολυφόρβην χερσὶν ἀλοίᾳ.

μέλλων ἀγνοιήσω· ὁ ἀόριστος ἠγνοίησα· τὸ τρίτον, ἠγνοίησεν. — κερτομίοισι· κατὰ παράλειψιν, ἀντὶ τοῦ κερτομίοις ἔπεσιν, ὅπερ ἐν ἄλλοις ἐντελῶς λέγει·

κερτομίοις ἐπέεσσι παραβλήδην ἀγορεύων.

τοιοῦτόν ἐστι παρ' αὐτῷ καὶ τὸ·

---

2. Cod. A. ἰός. 6. Cod. A. om. διὰ. 7. Cod. A. om. alterum καί. 8. Scherpezeelius male: πρόθεσιν ὅλος ἐπαναλ. 9. Cod. B. πάθῃ. et προκυλινδούμενος. Iliad. χ'. 220. Deest hoc Scholion apud Favorinum.

11. Cod. A. in lemmate: διέτμαγον, neque dubitari potest, quin haec sit Moschopuli lectio, cum ejus verba ad hanc, non ad alteram pertineant. Quae autem apud Favorinum fol. 145. vers. s. v. διέτμαγεν leguntur, non Moschopuli sunt, sed ex Etym. M. p. 273, 28. transscripta. 15. Cod. A. ὁμοπάτριος. Cod. B. et Favorin. fol. 37. vers. ὁμόπατρος. Vide quae annotavimus ad Lycoph. Alexandr. p. 112.

17. Cod. A. ἀλλοιῷ. cf. Moschop. π. σχεδ. p. 51. Favorin. fol. 243 vers.

18. Iliad. ι. 568. 20. Cod. A. hic et infra κατὰ παράληψιν. male. Earundem vocum permutationem notavit Schaeferus ad Greg. Corinth. p. 673.

22. Iliad. δ'. 6.

πολλὰ δὲ μειλιχίοισι *προςηύδα, πολλὰ δ' ἀρειῇ.

τὸ γὰρ μειλιχίοισι* κἀνταῦθα κατὰ παράλειψιν λέγεται ἀντὶ τοῦ μειλιχίοις ἔπεσιν. — αἰεί τοι φίλον· πρὸς μὲν τὸ φίλον ἐστὶν ἀπεδόθη δοτικὴ, διὰ δὲ τὸ ἐπαγόμενον ἀπαρέμφατον μετέπεσεν ὁ λόγος εἰς αἰτιατικήν. τοῦτο καὶ τῷ πεζῷ λόγῳ ἐστὶν ἐν χρήσει. — χαλεποί τοι ἔσονται· τὸ εἰδέναι ἀπὸ κοινοῦ, ἵν' ᾖ ἀντὶ τοῦ, δυσχερές σοι ἔσται εἰδέναι αὐτούς· τουτέστιν, οὐ ῥαδίως σοι ἐκδεδομένοι ἔσονται. μή τι σὺ ταῦτα ἕκαστα διείρεο· τὸ ὂν ἀορίστως λεγόμενον πληθυντικοῦ δύναμιν ἔχει· οἰκείως οὖν ἀποδιδοῖτο ἂν πρὸς αὐτὸ πληθυντικόν. * εἰ μὲν οὖν ἐνταῦθα πληθυντικὸν* ἀπεδίδοτο ἀρσενικοῦ γένους, ἐπεὶ καὶ τοῦτο ἀρσενικόν· οἷον, μὴ σὺ τούτους πάντας διερεύνα, οὐκ ἂν εἶχεν ὁ λόγος δυσχέρειαν. τὸ τοιοῦτο γὰρ πᾶσι σχεδὸν γνώριμον, ἅτε πολλῆς οὔσης τῆς τούτου χρήσεως, οὐ παρὰ ποιηταῖς μόνον, ἀλλ' ἤδη καὶ τοῖς τῷ πεζῷ λόγῳ χρωμένοις. νυνὶ δὲ πληθυντικὸν ἀποδέδοται κατὰ γένος οὐδέτερον, καὶ ἔστιν ἡ ἀπόδοσις πραγματική· πράγματα γὰρ οἱ λόγοι· ἀντὶ γοῦν τοῦ ἀποδιδόναι τούτους, ταῦτα ἀποδέδωκεν, ὃ ταὐτὸ δύναται τῷ τούτους κατὰ τὴν πραγματικὴν σύνταξιν. αὕτη δὲ συνήθης ἤδη καὶ ποιηταῖς καὶ λογογράφοις, καὶ τῇ ἀκοῇ δὲ ἀνεπαχθῶς προςβάλλει, ἅτε τῆς ψυχῆς προκατειλημμένης οὔσης τῇ ἁπλῇ διανοίᾳ τῶν πραγμάτων μᾶλλον, ἢ τὸ οὐδέτερον συμπίπτει, ἢ τοῖς ἀρσενικοῖς * καὶ θηλυκοῖς * ὀνόμασιν,

1. Iliad. ρ́. 431. Ibid. Cod. A. verba προςηύδα — μειλιχίοισι om. Totum Scholium deest apud Favorinum. 3. Vitiose Scherpezeelius e Cod. A.: πρὸς μὲν τὸ φίλον ἐστὶν ἀποδοτική. Cf. Eustath. p. 147, 5. καὶ ὅρα ἐνταῦθα ὅτι τὸ νόσφιν ἐόντα καὶ τὸ φρονέοντα οὐ πρὸς τὸ σοὶ ἀπεδόθη κατὰ πτῶσιν δοτικὴν, ἀλλὰ πρὸς τὸ δικάζειν etc. 5. Cod. A. om. λόγῳ. Deest hoc Schol. apud Favorinum. 7. Cod. A. om. σοὶ. 8. Cod. B. vocem ἕκαστα in lemmate omisit. Ibid. Cod. A. τὸν ὂν ἀόριστος. 10. Verba: εἰ μὲν οὖν ἐνταῦθα πληθυντικὸν e Codice meo accesserunt. 11. Cod. A. ἀῤῥενικοῦ, et ita etiam in sqq. 12. Cod. A. vitiose: οὐκ ἂν ἔχει. 13. Cod. A. ὅτε πολλῆς. 14. Cod. A. παρὰ τοῖς ποιηταῖς. 15. Cod. A. πληθυντικά.

16. Cod. A. ἀποδοῦναι. 18. Cod. B. πραγματικὴν. Cod. A. πραγματευτικήν. Ibid. Cod. A. συνήθως. 19. Cod. A. ἀνεπαθῶς. 21. Verba: καὶ θηλυκοῖς e Codice meo addidi. Totum hoc Scholion in Favorini collectione desideratur.

ἃ δὴ ὕστερον ἐπὶ τούτων νενομοθέτηται. — βοῶπις· ἡ μετεώρους καὶ κυκλοτερεῖς ἔχουσα ὀφθαλμοὺς, ὥσπερ οἱ βόες· τούτοις γὰρ ἐξαίρετον τοῦτο· τὴν Ἥραν δὲ λέγει οὕτως, ἤτοι τὸν ἀέρα, ἅτε διαφανῆ ὄντα μάλιστα πάντων. — ποῖον τὸν μῦθον· συνυπακούειν δεῖ τὸ τόνδε, ἵν' ᾖ, ποῖον τόνδε τὸν μῦθον ἔειπας; ἀντὶ τοῦ, τίς ἐστιν οὗτος ὁ λόγος ὃν εἶπας; — δείδοικα· μέσος ὢν παρακείμενος ὁ δέδοικα, καὶ ὀφείλων τὸ δ ἔχειν ἀπὸ τοῦ ἐνεστῶτος· ὁ δὲ τὸ κ ἔχει, ὃ τοῦ ἐνεργητικοῦ παρακειμένου ἐστίν. τοῦτο δὲ γίνεται διὰ τὸ κακόφωνον· τὰ γὰρ τρία ἐφεξῆς δ κακόφωνον ἐποίει τὴν λέξιν. ἀντὶ γοῦν τοῦ κλιτικοῦ δ τὸ κ λαμβάνει οἰκείως· καὶ τοῦτο γὰρ παρακειμένου. — δαιμονίη· ἐνταῦθα μὲν τὸ δαιμονίη ἀντὶ τοῦ δαιμονίως, ἤτοι σφόδρα περίεργε λαμβάνεται· ἐν δὲ τῷ,

δαιμόνιε, φθίσει σε τὸ σὸν μένος,

τὸ ἔνθεον τῆς ὁρμῆς καὶ ἀνδρείας τοῦ Ἕκτορος θέλει δηλοῦν τοὔνομα. ἐν δὲ τῷ,

δαιμόνι', οὕτω που μάλα ἔλπεαι υἷας Ἀχαιῶν
ἀπτολέμους τ' ἔμεναι καὶ ἀναλκίδας, ὡς ἀγορεύεις,

τὸ βασιλικὸν καὶ ἔνθεον τοῦ Ἀγαμέμνονος· ἐν δὲ τῷ, δαιμονίη τι λέληκας, τὸ μουσικὸν καὶ ἱερὸν τῆς ἀηδόνος. ἐν δὲ τῷ,

---

2. Deest καὶ in Cod. A. Ibid. Vitiose Favorinus Lex. fol. 110. rect. τοῦτο γὰρ ἐξαίρετον τὸν Ἥραν λέγειν οὕτως. Veram lectionem nostri Codices exhibent. 5. Male Cod. A. δεῖ τὸν δὲ, et statim, ποῖον τὸν μῦθον. Ibid. Cod. B. ἔειπες. 6. Cod. B. in lemmate: δειδοῖκα. Ibid. A. om. ὢν.

7. Cod. A. et Favorin. fol. 131 vers. καὶ ὀφείλει. Scherpezeelius: καὶ ὤφειλε. Ibid. Cod. A. male ὃ δὲ. 8. Favorinus l. l. qui priora verba omisit, habet διὰ τὸ καλλόφωνον. Codd. in nostra lectione consentiunt. 10. Cod. A. κλητικοῦ. 11. Cod. B. παρακειμένοις. Ibid. Codd. uterque δαιμονία. Veram lectionem servavit Favorin. fol. 128 rect. δαιμονίως: nisi quis δαιμονίᾳ malit, quod per θείᾳ μοίρᾳ explicat Scholiastes ad Pind. Olymp. IX. 164. 12. Cod. A. περὶ ἔργα. 13. Iliad. ζ'. 407. 16. Iliad. ι'. 40. Cod. A. μέγα ἔλπεαι. *Scherpezeelius:* „Editi habent μάλα. reperio quoque voces μέγα et μάλα inter se commutatas Odyss. ω'. 401. ubi editi omnes μέγα, Macrobius vero Saturn. I. 17. et Anonymus ad Iliad. β'. 6. illum locum laudantes habent μάλα." Cod. B. et Favorin. μάλα. 19. Cod. A. et Favorin. l. l. τὸ λέληκας. Cod. B. recte τί λέληκας. *Hesiod.* ἔργ. 207. *Scherpezeelius:* λέλακας. male.

δαιμόνιοι, χλούνην μὲν ὀρίτροφον,

τὸ καρτερικὸν καὶ ἔμμονον τῶν ἁλιέων, ὃ πρόσεστιν αὐτοῖς ὡς ἀπὸ μοίρας δαίμονος. ἔστι δὲ εὔφημον ὄνομα τὸ δαιμόνιε, διὰ καρτερίαν ἢ ἀνδρείαν, ἢ κράτος βασιλικὸν καὶ ἔνθεον, ἢ ἄλλην τινὰ ἀρετὴν λεγόμενον. * ἐνίοτε δὲ καὶ μετρίως καθάπτεται εἰς περιεργίαν ἢ τοιοῦτό τι σκώπτων· * ἐνίοτε δὲ καὶ εἰρωνικῶς λέγεται ἐπὶ τοῦ νομίζοντος ἔνθεον ἑαυτὸν καὶ ἀνδρείας μέτοχον, ὡς ἐν τούτοις·

δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστασ' ἐμεῖο.

— ἐριδαίνετον· ἀπὸ τοῦ ἐρίζω κατὰ παραγωγὴν ἐριδαίνω, ἐκβολῇ τοῦ σ τοῦ ἐν τῷ ζ. τὸ δεύτερον τῶν δυϊκῶν, ἐριδαίνετον. — νεικείῃσιν· νεικῶ, καὶ πλεονασμῷ τῆς ει διφθόγγου νεικείω, ἀφ' οὗ ὑποτακτικὸν νεικείω, τὸ τρίτον νεικείῃ, καὶ πλεονασμῷ τῆς σι, νεικείῃσιν. — καθάπτεσθαι· θέλε καθάπτεσθαι, ἤτοι καθάπτου. λαμβάνεται δὲ ἐνταῦθα ἀντὶ τοῦ καταπραΰνειν, διὸ καὶ πρὸς αἰτιατικὴν λέγεται· καθάπτομαι δὲ, τὸ σφόδρα λυπῶ, πρὸς γενικήν. — τέτλαθι· τέτληκα παρακείμενος, καὶ ἐκβολῇ τοῦ κ τέτλαα. πᾶς γὰρ παρακείμενος διὰ τοῦ κ ἔχων τὴν λήγουσαν, καὶ μακρᾷ παραληγόμενος, εἰ ἀποβολὴν τοῦ κ ποιήσεται, συστέλλει τὴν παραλήγουσαν. τὸ τρίτον, τέτλαε· ἀφ' οὗ τὸ προστακτικὸν τέτλαε, καὶ κατὰ μεταπλασμὸν τέτλαθι, ὡς δέδιθι· εἰ γὰρ ἀπὸ τοῦ τλῆθι ἐγένετο κατὰ ἀναδιπλασιασμὸν, εἶχεν ἂν τὴν παραλήγουσαν μακράν. — ἀλεξέ-

---

1. *Oppian.* Halient. I. 12. 2. Cod. B. εὔφημον pro ἔμμονον. Ibid. Cod. A. om. ὡς. 4. A verbis ἢ κράτος usque ad finem opusculi alia manus, priore multo recentior, minuta sed satis accurata scriptura Codicem B. exaravit.

6. Hic locus in utroque Codice mutilatus est; verba enim, ἐνίοτε δὲ — σκώπτων, quae stellulis indicavimus, desunt in Cod. A. leguntur autem in nostro Codice; quae sequuntur usque ad μέτοχον scripta sunt in Cod. A. in nostro autem desiderantur. Totum locum integrum servavit Favorinus. 8. Iliad. ν'. 448. Cod. B. ἐμοῖο. 9. ἐριδαίνετον· Deest hoc Schol. in Cod. B. Legitur in Cod. A. et apud Favorin. fol. 217. vers. 11. νεικείῃσιν· Deest hoc Schol. in Cod. B. Habent Cod. A. et Favorin. fol. 371. vers. 13. καθάπτεσθαι· Hoc Schol. in solo Cod. A. legitur. Lacunam in verbis ἀντὶ τοῦ κατα .... recte supplevit Scherpezeelius. Scholia minora: καθάπτεσθαι: καταπραΰνειν, ἐπέχειν. 16. Cod. B. in lemmate: πρόφρων τέτληκας. et statim vitiose: ἐκβολῇ τοῦ υ τέτλακα.

18. ποιήσεται AB ποιήσει Favorin. fol. 497 vers. 20. Cod. B. δέδειθι. Ibid. κατὰ deest in Cod A. εἶχε. Favorin. om. ἄν.

μεναι· ἀπὸ τοῦ ἀλέξω ἀλέξειν, καὶ Δωρικῶς ἀλεξέμεναι. ἔστι δὲ ἐνεστὼς μὲν ἀλέξω, ὃ δηλοῖ κυρίως μὲν τὸ ὑπὲρ τῶν ἀλόχων βοηθεῖν· καταχρηστικῶς δὲ λέγεται καὶ ἐπὶ τοῦ ὁποσοῦν συμμαχεῖν, καθὸ λέγεται ἐνταῦθα. μέλλων δὲ ἀλεξήσω ἑτεροκλίτως. ὁ ἀόριστος ἠλέξησα, ἀφ' οὗ τὸ ἀλεξῆσαι. — τεταγών· ἀπὸ τοῦ τῶ ἀχρήστου, ἀφ' οὗ τὸ τέταμαι καὶ ἐτάθην. κοινῶς μὲν τείνω καὶ τανύω, ποιητικῶς δὲ τάζω· ὡς ἀπὸ τοῦ χῶ ἀχρήστου κοινῶς μὲν χωρῶ, ποιητικῶς δὲ χάζομαι, τὸ ἀναχωρῶ. ἔστι δὲ τὸ τάζω κατὰ ποιητικὴν παραγωγὴν, ὅμως καὶ παρ' αὐτοῖς τοῖς ποιηταῖς ἄχρηστον. ἀπὸ τούτου δὲ γίνεται δεύτερος ἀόριστος ἔταγον ἐν χρήσει, ὡς ἀπὸ τοῦ σφάζω ἐσφάγην: ἀφ' οὗ μετοχὴ ταγὼν, καὶ κατὰ ἀναδιπλασιασμὸν, τεταγών. — ἐνῆεν· ἔω ἐνεστὼς ἄχρηστος· ἀφ' οὗ παρατατικὸς ἔον καὶ ἦον, καὶ ἀμφότεροι ποιητικοί. ὁ μὲν ἀναύξητος κατὰ Ἴωνας, ὁ δὲ ηὐξημένος ἀπὸ τοῦ ἦον τὸ ἦεν ἐπὶ τοῦ τρίτου, καὶ μετὰ τῆς ἐν, ἐνῆεν. τοῦτο τὸ ἦεν κατὰ κρᾶσιν γίνεται ἦν, καὶ ἔστιν ἐν χρήσει παρὰ τοῖς κοινοῖς. ἐφ' ᾧ προστίθεται ποιητικῶς ἐνίοτε μὲν τὸ ε, ἐνίοτε δὲ τὸ η, καὶ γίνεται ἔην καὶ ἤην. — μείδησεν· μειδάω, ἐνεστὼς ποιητικῶς. μειδιῶ κοινῶς. μέλλων μὲν κοινῶς μειδιάσω, ποιητικῶς δὲ μειδήσω. ὁ ἀόριστος ἐμείδησα ποιητικῶς, καὶ ἐμειδίασα κοινῶς. — ᾠνοχόει· ἀντὶ τοῦ ἐγχέων ἐδίδου· οὔτε γὰρ τὸ οἰνοχοεῖν κυρίως ἁρμόζει ἐπὶ τοῦ νέκταρος· καταχρηστικῶς δὲ λέγεται ἀπὸ τοῦ πλεονάζοντος· οἰνοχοεῖν

---

1. Cod. B. ἀλέγω. vitiose. 2. Scholion in utroque Codice mutilatum est, ita quidem, ut in Cod. A. verba: μὲν ἀλέξω, ὃ δηλοῖ κυρίως μὲν exciderint; in Cod. B. autem omnia a verbis ὃ δηλοῖ usque ad ἐνταῦθα desiderentur. Integrum locum praebuit Favorinus fol. 33. vers. 5. ἀλεξῆσαι. cf. *Eustath.* ad Iliad ρ́, 364. p. 1109, 62. Ibid. Deest τῶ in Cod. B. 6. Cod. A. vitiose τὸ τέμαι. Ibid. Cod. A. τανείω. Cod. B. ταννύω. 8. Cod. A. ἔστι δὲ τὸ τάω. 9. Verba τοῖς ποιηταῖς desunt in Cod. B. Habent ea Cod. A. et Favorin. fol. 504. rect. 10. Cod. uterque ἐσφάγην. Scherpezeelius ἔσφαγον. Favorinus haec verba omisit. 13. Cod. B. καὶ ἀμφότερα ποιητικά. 14. ἐπὶ τοῦ τρίτου προσώπου Favorin. fol. 187. vers. Ibid. τοῦτο τὸ ἦον Codd. AB. τοῦ γὰρ ἦεν Favorinus. 17. Cod. B. ἔην καὶ ἦν. Ibid. Cod. A. μειδιάω. Cod. B. et Favorin. fol. 351. μειδιόω. 18. κοινὸς μὲν — ποιητικὸς δὲ Cod. A. et Favorin. 19. ᾠνοχόει Cod. uterque in lemmate. Vid. Scholia majora pag. 74, 37 meae editionis. 20. Cod. B. ἐδίδω. Ibid. Cod. A. τὸ οἰνοχοῶ. 21. Cod. A. ἐπὶ τοῦ κλ. Favorin. fol. 541 vers. om.

γάρ ἐστι τὸ οἶνον ἐγχέοντα διδόναι, οὔτε γὰρ κιρνᾶν· κιρνᾶν μὲν γάρ ἐστι τὸ μιγνύοντα ἄλλο ὑγρὸν ἄλλῳ διδόναι. τὸ δὲ νέκταρ ἀκέραστον οἱ θεοὶ πίνουσι· νέκταρ δὲ λέγεται, ὅτι καὶ καθ' ἑαυτὸ ἀκέραστόν ἐστιν, ἤτοι καθαρὸν καὶ ἀκραιφνές. ἰστέον δὲ ὅτι καὶ ἐπὶ τῶν ἄλλων, ἐφ' ὧν Ὅμηρος τὸ ἀκέραστον τίθησιν, ἐν ἐπαίνου μοίρᾳ τίθησιν. ἀκραῆ γὰρ ἄνεμον λέγει τὸν ἀκέραστον, ὃν καὶ καλὸν λέγει·

ἐπλέομεν βορέῃ ἀνέμῳ ἀκραέϊ καλῷ.

ἀπὸ δὲ τοῦ ἐναντίου τῶν μισγομένων ἀνέμων τὸ δεινὸν κατηγορεῖ. οἷον,

δεινὴ μισγομένων ἀνέμων ἐλθοῦσα θύελλα.

καὶ οἶνον παλαιὸν εἰπὼν ἡδύποτον, ἵνα μᾶλλον ἐπάρῃ τὸν ἔπαινον αὐτοῦ,

ἄκρητον θεῖον πότον

ἐπιφέρων αὐτὸν λέγει. καὶ ὕδωρ ἐπαινῶν ἀκήρατον λέγει, ἤτοι ἀκέραστον. κατὰ ταῦτα καὶ τὸ θεῖον πόμα νέκταρ ὀνομάζει, ἤτοι ἀκέραστον καὶ ἀκραιφνὲς καὶ πάσῃ μοχθηρίᾳ ἀμιγές. — ποιπνύοντα· ἀπὸ τοῦ πνέω πνύω, ὡς ἀπὸ τοῦ ἀναπνέω ἀναπνύω, ἀφ' οὗ καὶ τὸ ἀμπνύνθη κατὰ πλεονασμὸν τοῦ $\overline{\nu}$· ἢ ποιπνύοντα, ἀπὸ τοῦ πονῶ πονύω, καὶ κατ' ἀναδιπλασιασμὸν ποπονύω, εἶτα κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ $\overline{\iota}$, ποιπνύω. — κακκείοντες· κέω ἄχρηστον. ἀφ' οὗ κοινῶς μὲν κεῖμαι καὶ κοιμῶμαι, καὶ ὀνόματα κῶμα καὶ κῶμος·

1. Verba *οὔτε γὰρ — διδόναι* desunt in Cod. B. *γὰρ κιρνᾶν* om. A. utriusque Cod. lacunam supplevi ex Favorino. 4. *ἀκραιφνές*. Reliqua omnia usque ad finem Scholii in Cod. B. desiderantur. Dedi ea secundum scripturam Codicis A. et ex Favorino fol. 28. vers. s. v. *ἀκραῆ*. 7. Odyss. *ξ'*. 253. 8. *οἷον* om. A. 9. Odyss. *έ*. 317. Ibid. *ἀνέμων* om. Favorin. 10. *τὸν ἔπαινον αὐτὸς* Favorin. 12. Odyss. *β'*. 340. 13. Iliad. *ώ*. 303. 15. Hoc Scholion, quod neque Codices mei, neque Favorinus integrum exhibent, ita restitui, ut priorem partem e Cod. A. in quo solo ea leguntur, desumerem; deinde ubi is lacunosus et mutilatus erat, alterum Codicem et Favorinum, qui peropportune ea servarunt, quae in illo perierunt, in auxilium vocarem. 16. Cod. A. *ἀπὸ τοῦ νέω πονύω*, quod recte correxit Scherpezeelius. 17. Iliad. *έ*. 697. 18. Cod. A. *κατὰ πλεονασμὸν τοῦ $\overline{\nu}$ καὶ .... καὶ κατ' ἀναδιπλασιασμὸν ποπόν* (sic). Cod. B. *ποιπνύοντα ἀπὸ πονέω πονύω*. reliquis omissis. Cf. Favorin. Lex. fol. 416 vers. et in Eclog. pag. 372, 1. edit. Dind. *Etym.* M. p. 679, 13. Etym. Gud. 472, 62. et Schol. maj. pag. 75, 7 meae editionis.

ποιητικῶς δὲ κείω ἐπὶ τῆς σημασίας τοῦ κοιμῶμαι· ὡς ἀπὸ τοῦ θῶ θείω, καὶ ἀπὸ τοῦ στῶ στείω. * ἔχει δὲ ἔφεσιν, ὡς τὸ ὀφείω. * ἔχει δὲ ταῦτα μελλόντων τὴν δύναμιν, ὁμοίως καὶ τἄλλα πάντα ῥήματα, ἃ κατὰ προσθήκην οὕτω τῆς ει διφθόγγου γίνεται.

---

1. Favorin. fol. 282. vers. κακκείω. male. 2. Verba ὡς ἀπὸ — στείω. desunt in Cod. B. στείχω A. Ibid. Quae stellulis notavi, desunt in Cod. A. et ex meo Codice accesserunt. Favorin. ἀφείω. cf. *Eustath.* p. 162, 10.

3. Verba: ἔχει δὲ — δύναμιν ex solo Cod. A. desumsi. 4. In fine Favorinus addit: ὅσα δὲ ἐνεστώτων εἰσὶ, καὶ ἀντὶ μελλόντων λαμβάνεται.